

FLORILEGIVM GRAECVM

IN VSVM

PRIMI GYMNASIORVM ORDINIS

COLLECTVM

A

PHILOLOGIS AFRANIS

FASCICVLVS XV

LIPSIAE
IN AEDIBVS B. G. TEVBNERI
MCMI

LIPSIAE: TYPIS B. G. TEVBNERI

PROCOPIVS

cuius patria fuit Caesarea Phoenicum, Iustiniani temporibus postquam Byzantii rhetoricen exercuit, inde ab anno p. Chr. n. 526 Belisarium scribae eius atque consiliarii munere functus ad omnes expeditiones comitatus est, quas contra Persas, Vandalos (Βανδίλοι), Gothos susceptas octo libris luculenter narravit. non multo post annum 562, postquam senator et praefectus urbi fuit, subitam mortem obiit.

I. Visigothi, a flumine Istro profecti, Alarico duce Italiam vastant, urbem Romam per dolum capiunt (a. 410. Bell. Vandal. I 2).

*Ὀνωρίου τὴν πρὸς ἡλίου δυσμαῖς ἔχοντος βασιλείαν 1
βάρβαροι τὴν ἐκείνου κατέλαβον χώραν. οἵτινες δὲ
καὶ ὅτῳ τρόπῳ, λελέξεται. Γοτθικὰ ἔθνη πολλὰ μὲν
καὶ ἄλλα πρότερόν τε ἦν καὶ τανῦν ἐστι, τὰ δὲ δὴ
πάντων μέγιστά τε καὶ ἀξιολογώτατα Γότθοι τέ εἰσι
καὶ Βανδίλοι καὶ Οὐισίγοτθοι καὶ Γήπαιδες. πάλαι
μέντοι Σαυρομάται καὶ Μελάγχλαινοι ὠνομάζοντο. εἰσὶ
δὲ οἳ καὶ Γετικὰ ἔθνη ταῦτ' ἐκάλουν. οὗτοι ἅπαντες
ὀνόμασι μὲν ἀλλήλων διαφέρουσιν, ἄλλῳ δὲ τῶν
πάντων οὐδενὶ διαλλάσσουσι. λευκοὶ γὰρ ἅπαντες τὰ 2
σώματά τέ εἰσι καὶ τὰς κόμας ξανθοί, εὐμήκεις τε
καὶ ἀγαθοὶ τὰς ὄψεις, καὶ νόμοις μὲν τοῖς αὐτοῖς
χρῶνται, ὁμοίως δὲ τὰ ἐς τὸν θεὸν αὐτοῖς ἤσκη-
ται. τῆς γὰρ Ἀρείου δόξης εἰσὶν ἅπαντες, φωνή τε
αὐτοῖς ἐστι μία, Γοτθικὴ λεγομένη, καί μοι δοκοῦν
ἐξ ἑνὸς μὲν εἶναι ἅπαντες τὸ παλαιὸν ἔθνους, ὀνόμασι
δὲ ὕστερον τῶν ἑκάστοις ἡγησαμένων διακεκρίσθαι.
οὗτος ὁ λεὼς ὑπὲρ ποταμὸν Ἴστρον ἐκ παλαιοῦ ᾤκουν.
ἔπειτα Γήπαιδες μὲν τὰ ἀμφὶ Σιγγηδόνα τε καὶ Σίρ-*

μιον χωρία ἔσχον, ἐντός τε καὶ ἐκτὸς ποταμοῦ Ἴστρου,
ἔνθα δὴ καὶ ἐς ἐμὲ ἵδρυνται.
3 Τῶν δὲ δὴ ἄλλων Οὐισίγοτθοι μὲν ἐνθένδε ἀνα-
στάντες τὰ μὲν πρῶτα ἐς ξυμμαχίαν Ἀρκαδίου βασι-
λέως ἀφίκοντο, χρόνῳ δὲ ὕστερον (οὐ γὰρ οἶδε βαρ-
βάροις ἐνδιαιτᾶσθαι ἡ ἐς Ῥωμαίους πίστις), ἡγουμένου
αὐτοῖς Ἀλαρίχου, ἐς ἐπιβουλὴν ἑκατέρου βασιλέως
ἐτράποντο, ἐκ Θρᾴκης τε ἀρξάμενοι ξυμπάσῃ Εὐρώπῃ
4 ὡς πολεμίᾳ ἐχρήσαντο. βασιλεὺς δὲ Ὁνώριος πρότερον
μὲν ἐν Ῥώμῃ καθῆστο, οὐδὲν ὅ τι καὶ πολέμιον ἐν
νῷ ἔχων, ἀλλ' ἀγαπῶν, οἶμαι, ἤν τις αὐτὸν ἐν τοῖς
βασιλείοις ἡσυχάζειν ἐῴη· ἐπεὶ δὲ οὐκ ἄποθεν οἱ βάρ-
βαροι, ἀλλά που ἐν Ταυλαντίοις εἶναι στρατῷ μεγάλῳ
ἠγγέλλοντο, καταλιπὼν τὰ βασίλεια οὐδενὶ κόσμῳ ἐς
Ῥάβενναν φεύγει, πόλιν ἐχυρὰν ἐς αὐτόν που λήγοντα
κειμένην τὸν Ἰόνιον κόλπον. εἰσὶ δὲ οἵ καί φασιν
αὐτὸν τοὺς βαρβάρους ἐπαγαγέσθαι, στάσεως αὐτῷ
πρὸς τῶν ὑπηκόων γεγενημένης, ἐμοὶ μὲν οὐ πιστὰ
λέγοντες, ὅσα γε τὸ τοῦ ἀνθρώπου ἐκλογίζεσθαι ἦθος.
5 οἱ δὲ βάρβαροι, ἐπεὶ οὐδὲν σφίσιν ἀπήντα πολέμιον,
γίνονται ὠμότατοι ἀνθρώπων ἁπάντων. πόλεις τε γάρ,
ὅσας εἷλον, οὕτω κατειργάσαντο, ὥστε οὐδὲν εἰς ἐμὲ
αὐταῖς ἀπολέλειπται γνώρισμα, ἄλλως τε καὶ ἐντὸς
τοῦ Ἰονίου κόλπου, πλήν γε δὴ ὅτι πύργον ἕνα ἢ
πύλην μίαν ἤ τι τοιοῦτο αὐταῖς περιεῖναι ξυνέβη·
τούς τε ἀνθρώπους ἅπαντας ἔκτεινον, ὅσοι ἐγένοντο
ἐν ποσίν, ὁμοίως μὲν πρεσβύτας, ὁμοίως δὲ νέους,
οὔτε γυναικῶν οὔτε παίδων φειδόμενοι. ὅθεν εἰς ἔτι
καὶ νῦν ὀλιγάνθρωπον τὴν Ἰταλίαν ξυμβαίνει εἶναι.
χρήματα δὲ ἅπαντα ἐληΐσαντο ἐκ πάσης Εὐρώπης, καί,
τό γε κεφάλαιον, ἐν Ῥώμῃ τῶν τε δημοσίων τῶν τε

ἰδίων οὐδ' ὁτιοῦν ἀπολιπόντες ἐπὶ Γαλλίας ἐχώρησαν.
τρόπῳ δὲ ὅτῳ Ῥώμην Ἀλάριχος εἷλεν, ἐγὼ δηλώσω.

Ἐπειδὴ χρόνος τέ οἱ πολὺς ἐν τῇ προσεδρείᾳ ἐτέ- 6
τριπτο καὶ οὔτε βίᾳ οὔτε τινὶ μηχανῇ ἄλλῃ ἴσχυσε τὸ
χωρίον ἑλεῖν, ἐπενόει τάδε. τῶν ἐν τῷ στρατῷ νεα-
νιῶν οὔπω γενειασκόντων, ἀλλ' ἄρτι ἡβηκότων, τριακο-
σίους ἀπολεξάμενος, οὕσπερ εὖ τε γεγονέναι καὶ ὑπὲρ
τὴν ἡλικίαν ἀρετῆς μεταποιεῖσθαι ἠπίστατο, ἔφασκε
μὲν αὐτοῖς κρύφα, ὡς σφίσι τῶν ἐν Ῥώμῃ πατρικίων
τινάς, ἅτε δούλοις οὖσι δῆθεν τῷ λόγῳ, δωρήσεσθαι
μέλλοι. παρήγγελλε δὲ ὥστε, ἐπειδὰν ἐν ταῖς ἐκείνων
οἰκίαις τάχιστα γένωνται, πρᾳότητα πολλὴν καὶ σω-
φροσύνην ἐνδεικνυμένους ἅπαντα προθύμως ὑπηρετεῖν,
ἅπερ ἂν αὐτοῖς πρὸς τῶν κεκτημένων ἐπικείμενα ᾖ·
ἔπειτα οὐ πολλῷ ὕστερον καὶ ἐν ἡμέρᾳ τακτῇ ἀμφὶ
ἡμέραν μάλιστα μέσην, ἁπάντων ἤδη τῶν αὐτοὺς λη-
ψομένων ὕπνον, ὡς τὸ εἰκός, μετὰ τὰ σιτία αἱρουμέ-
νων, ἐν πύλῃ ἅπαντας τῇ Σαλαρίᾳ καλουμένῃ γενέ-
σθαι, καὶ τούς τε φύλακας οὐδὲν προαισθομένους ἐξ
ἐπιδρομῆς κτεῖναι τάς τε πύλας ἀνοιγνύναι ὡς τάχιστα.
ταῦτα ἐπαγγείλας Ἀλάριχος τοῖς νεανίαις, πρέσβεις 7
αὐτίκα πρὸς τοὺς ἐκ βουλῆς ἔπεμψε, δηλῶν ὅτι ἀγα-
σθείη μὲν αὐτοὺς τῆς ἐς τὸν σφῶν βασιλέα εὐνοίας,
οὐκέτι δὲ τὸ λοιπὸν ἐνοχλήσει, τῆς τε ἀρετῆς καὶ πί-
στεως ἕνεκα, ἧς ἐς ἄγαν μεταποιεῖσθαί εἰσιν ἔνδηλοι,
ὅπως τε αὐτοῦ μνημεῖα παρ' ἀνδράσι καλοῖς τε καὶ
ἀγαθοῖς σῴζοιτο, οἰκέταις τισὶ δωρεῖσθαι βούλοιτο
αὐτῶν ἕκαστον. ταῦτα σημήνας καὶ τοὺς νεανίας οὐκ
ἐς μακρὰν στείλας συσκευάζεσθαι ἐς τὴν ἄφοδον τοὺς
βαρβάρους ἐκέλευε, τούτου τε αἴσθησιν Ῥωμαίοις παρ-
εῖχεν. οἳ δὴ τούς τε λόγους ἄσμενοι ἤκουσαν καὶ τὰ 8

δῶρα δεξάμενοι ἐν πολλῇ εὐπαθείᾳ ἐγένοντο, ἑκαστάτω τῆς τοῦ βαρβάρου ἐπιβουλῆς ὄντες. οἵ τε γὰρ νέοι τῷ εὐπειθέστεροι τοῖς κεκτημένοις εἶναι τὸ ὕποπτον ἀπεκρούοντο, τοῦ τε στρατοπέδου οἱ μὲν ἤδη ἐξανιστάμενοί τε καὶ διαλύοντες τὴν προσεδρείαν ἐφαίνοντο, οἱ δὲ ὅσον οὔπω ταὐτὸ τοῦτο ποιήσειν ἐπίδοξοι ἦσαν.

9 ἐπεὶ δὲ ἡ κυρία παρῆν, Ἀλάριχος μὲν ἅπαν ἐξοπλίσας τὸ στράτευμα ὡς ἐς τὴν ἔφοδον ἐν παρασκευῇ εἶχεν ἄγχιστα πύλης τῆς Σαλαρίας· ἐνταῦθα γὰρ ἐνστρατοπεδευσάμενος τῆς πολιορκίας κατ' ἀρχὰς ἔτυχε. ξύμπαντες δὲ οἱ νεανίαι καιρῷ τῆς ἡμέρας τῷ ξυγκειμένῳ ἐς ταύτην δὴ τὴν πύλην γενόμενοι τούς τε φύλακας ἐκ τοῦ αἰφνιδίου ἐπελθόντες ἅπαντας ἔκτειναν, τάς τε πύλας ἀνακλίναντες κατ' ἐξουσίαν Ἀλάριχόν τε καὶ τὴν στρατιὰν τῇ πόλει ἐδέξαντο, οἱ δὲ τάς τε οἰκίας ἐνέπρησαν, αἳ τῆς πύλης ἄγχιστα ἦσαν, ἐν αἷς ἦν καὶ ἡ Σαλουστίου, τοῦ Ῥωμαίοις τὸ παλαιὸν τὴν ἱστορίαν γράψαντος, ἧς δὴ τὰ πλεῖστα ἡμίκαυτα καὶ ἐς ἐμὲ ἕστηκε. τήν τε πόλιν ὅλην ληισάμενοι καὶ Ῥωμαίων

10 τοὺς πλείστους διαφθείραντες πρόσω ἐχώρουν. τότε λέγουσιν ἐν Ῥαβέννῃ Ὀνωρίῳ τῷ βασιλεῖ τῶν τινα εὐνούχων δηλονότι ὀρνιθοκόμον ἀγγεῖλαι, ὅτι δὴ Ῥώμη ἀπόλωλε. καὶ τὸν ἀναβοήσαντα φάναι· 'Καίτοι ἔναγχος ἐδήδοκεν ἐκ χειρῶν τῶν ἐμῶν.' εἶναι γάρ οἱ ἀλεκτρυόνα ὑπερμεγέθη, Ῥώμην ὄνομα, καὶ τὸν μὲν εὐνοῦχον ξυνέντα τοῦ λόγου εἰπεῖν Ῥώμην τὴν πόλιν πρὸς Ἀλαρίχου ἀπολωλέναι. ἀνενεγκόντα δὲ τὸν βασιλέα ὑπολαβεῖν· ''Ἀλλ' ἔγωγε, ὦ ἑταῖρε, Ῥώμην μοι ἀπολωλέναι τὴν ὄρνιν ᾠήθην.' τοσαύτῃ ἀμαθίᾳ τὸν βασιλέα τοῦτον ἔχεσθαι λέγουσιν.

II. Tristis Gelimeris exitus (B. Vand. II 6—7. 9).

Gelimer rex Vandalorum a Phara legato Belisari in monte Mauretaniae Pappua circumclusus obsidione premitur (a. 534).

Φάρας τῇ προσεδρείᾳ ἤδη ἄλλως τε καὶ χειμῶνος 1
ὥρᾳ ἀχθόμενος, ἅμα δὲ καὶ οὐκ ἂν οἰόμενος οἷός τε
εἶναι ἐμποδὼν σφίσι τοὺς ἐκείνῃ Μαυρουσίους στήσε-
σθαι, τῇ ἐς Παππούαν ἀναβάσει ξὺν προθυμίᾳ πολλῇ
ἐνεχείρησεν. ἅπαντας μὲν οὖν εὖ μάλα ἐξοπλίσας τοὺς
ἑπομένους ἀνέβαινε. βεβοηθηκότων δὲ τῶν Μαυρου-
σίων, ἅτε ἐν χωρίῳ ἀνάντει τε καὶ λίαν δυσβάτῳ, ἡ
λύμη εὐπετῶς ἐπὶ τοὺς ἀνιόντας ἐγίνετο. καρτερῶς δὲ
τοῦ Φάρα βιαζομένου τὴν ἄνοδον, δέκα μὲν καὶ ἑκα-
τὸν τῶν ἀμφ' αὐτὸν ἐν τῷ ἔργῳ τούτῳ ἀπέθανον,
αὐτὸς δὲ ξὺν τοῖς ἐπιλοίποις ἀποκρουσθεὶς ἀνεχώρησε,
καὶ ἀπ' αὐτοῦ ἀποπειράσασθαι μὲν τῆς ἀνόδου, ἀντι-
στατοῦντος τοῦ πράγματος, οὐκέτι ἐτόλμα, φυλακὴν δὲ
κατεσπουδασμένην, ὡς ἔνι μάλιστα, κατεστήσατο, εἴ
πως οἱ πιεζόμενοι τῷ λιμῷ οἱ ἐν Παππούᾳ σφᾶς
αὐτοὺς ἐγχειρίσειαν, καὶ οὔτε ἀποδιδράσκειν αὐτοὺς
ἐνεδίδου οὔτε τι τῶν ἔξωθεν ἐς αὐτοὺς φέρεσθαι.
ἔνθα δὴ τῷ τε Γελίμερι καὶ τοῖς ἀμφ' αὐτὸν ἀδελφι- 2
δοῖς τε καὶ ἀνεψιαδοῖς οὖσι καὶ ἄλλοις εὖ γεγονόσι
ξυνέπεσε κακοπαθείᾳ χρῆσθαι, ἣν ὅπως ποτὲ εἴποι τις,
οὐκ ἂν ὁμοίως τοῖς πράγμασι φράζοι. ἐθνῶν γὰρ
ἁπάντων ὧν ἴσμεν ἡμεῖς ἁβρότατον μὲν τὸ τῶν Βαν-
δίλων, ταλαιπωρότατον δὲ τὸ Μαυρουσίων τετύχηκεν
εἶναι. οἱ μὲν γάρ, ἐξ ὅτου Λιβύην ἔσχον, βαλανείοις
τε οἱ ξύμπαντες ἐπεχρῶντο ἐς ἡμέραν ἑκάστην καὶ
τραπέζῃ ἅπασιν εὐθηνούσῃ, ὅσα δὴ γῆ τε καὶ θάλασσα
ἥδιστά τε καὶ ἄριστα φέρει. ἐχρυσοφόρουν δὲ ὡς ἐπὶ
πλεῖστον, καὶ Μηδικὴν ἐσθῆτα, ἣν νῦν Σηρικὴν κα-

*λοῦσιν, ἀμπεχόμενοι, ἔν τε θεάτροις καὶ ἱπποδρομίοις
καὶ τῇ ἄλλῃ εὐπαθείᾳ, καὶ πάντων μάλιστα κυνηγε-
σίοις, τὰς διατριβὰς ἐποιοῦντο. καὶ σφίσιν ὀρχησταὶ
καὶ μῖμοι ἀκούσματά τε συχνὰ καὶ θεάματα ἦν, ὅσα
μουσικά τε καὶ ἄλλως ἀξιοθέατα ἐν ἀνθρώποις ξυμ-
βαίνει εἶναι. καὶ ᾤκηντο μὲν αὐτῶν οἱ πολλοὶ ἐν
παραδείσοις ὑδάτων καὶ δένδρων εὖ ἔχουσι· ξυμπόσια
δὲ ὅτι πλεῖστα ἐποίουν, καὶ ἔργα τὰ ἀφροδίσια πάντα
3 αὐτοῖς ἐν μελέτῃ πολλῇ ἤσκητο. Μαυρούσιοι δὲ οἰκοῦσι
μὲν ἐν πνιγηραῖς καλύβαις, χειμῶνί τε καὶ θέρους
ὥρᾳ καὶ ἄλλῳ τῷ ξύμπαντι χρόνῳ, οὔτε χιόσιν οὔτε
ἡλίου θέρμῃ ἐνθένδε οὔτε ἄλλῳ ὁτῳοῦν ἀναγκαίῳ κακῷ
ἐξιστάμενοι. καθεύδουσι δὲ ἐπὶ τῆς γῆς κώδιον οἱ
εὐδαίμονες αὐτοῖς, ἂν οὕτω τύχοι, ὑποστρωννύντες.
ἱμάτια δὲ σφίσιν οὐ ξυμμεταβάλλειν ταῖς ὥραις νόμος,
ἀλλὰ τριβώνιόν τε ἁδρὸν καὶ χιτῶνα τραχὺν ἐς καιρὸν
ἅπαντα ἐνδιδύσκονται. ἔχουσι δὲ οὔτε ἄρτον οὔτε
οἶνον οὔτε ἄλλο οὐδὲν ἀγαθόν, ἀλλὰ τὸν σῖτον, ἢ τὰς
ὀλύρας τε καὶ κριθάς, οὔτε ἕψοντες οὔτε ἐς ἄλευρα
ἢ ἄλφιτα ἄγοντες οὐδὲν ἀλλοιότερον ἢ τὰ ἄλλα ζῷα
4 ἐσθίουσι. τοιούτοις δὴ οὖσι τοῖς Μαυρουσίοις οἱ
ἀμφὶ τὸν Γελίμερα συχνὸν ξυνοικήσαντες χρόνον τήν
τε ξυνειθισμένην αὐτοῖς δίαιταν ἐς τοῦτο ταλαιπωρίας
μεταβαλόντες, ἐπειδὴ καὶ αὐτὰ σφᾶς τὰ ἀναγκαῖα ἤδη
ἐπελελοίπει, οὐκέτι ἀντεῖχον, ἀλλὰ καὶ τὸ τεθνάναι
αὐτοῖς ἥδιστον καὶ τὸ δουλεύειν ἥκιστα αἰσχρὸν ἐνο-
μίζετο.*

5 *Ὧν δὴ Φάρας αἰσθόμενος γράφει πρὸς Γελίμερα
ἐπιστολήν. ταύτην δ' ἀναλεξάμενος ὁ Γελίμερ ἀπο-
κλαύσας τε δεινῶς ἀντέγραψεν ὧδε· ʽΚαὶ τῆς ξυμβου-
λῆς, ἥν μοι ἐποιήσω, πολλὴν ἔχω σοι χάριν καὶ*

πολεμίῳ ἀδικοῦντι δουλεύειν οὐκ ἀνεκτὸν οἶμαι, παρ' οὗ ἂν δίκην εὐξαίμην λαβεῖν, εἴ μοι ὁ θεὸς ἵλεως εἴη, ὅς γε οὐδὲν πώποτε ἄχαρι πρὸς ἐμοῦ, οὔτε ἔργῳ παθὼν οὔτε λόγῳ ἀκούσας πολέμῳ μὲν αἰτίαν οὐκ ἔχοντι παρέσχετο σκῆψιν, ἐμὲ δὲ ἐς τοῦτο μετήνεγκε τύχης, Βελισάριον οὐκ οἶδα ὅθεν ἐπενεγκών. καίτοι καὶ αὐτῷ ἀνθρώπῳ γε ὄντι καὶ βασιλεῖ οὐδὲν ἀπεικὸς ξυμβήσεσθαί τι ὧν οὐκ ἂν ἕλοιτο. ἐγὼ μέντοι περαιτέρω τι γράφειν οὐκ ἔχω. ἀφείλετο γάρ με τὴν ἔννοιαν ἡ παροῦσα τύχη. ἀλλὰ χαῖρέ μοι, ὦ φίλε Φάρα, καί μοι κιθάραν τε καὶ ἄρτον ἕνα καὶ σπόγγον δεομένῳ πέμπε.' Ταῦτα ἐπεὶ ἀπενεχθέντα ὁ Φάρας ἔγνω, 6 *χρόνον δή τινα διηπορεῖτο τῆς ἐπιστολῆς τὸ ἀκροτελεύτιον ξυμβαλεῖν οὐκ ἔχων, ἕως οἱ ὁ ταύτην κομίσας ἔφρασεν, ὡς ἄρτου μὲν ἑνὸς δέοιτο Γελίμερ ἐπιθυμῶν ἐς θέαν τε αὐτοῦ ἀφικέσθαι καὶ βρῶσιν, ἐπεὶ ἐξ οὗ εἰς Παππούαν ἀναβέβηκεν, οὐδένα πω ἄρτον ὠπτημένον εἶδε. σπόγγος δέ οἱ ἀναγκαῖος εἴη· τοῖν γὰρ οἱ ὀφθαλμοῖν ἅτερος, τραχυνόμενος τῇ ἀλουσίᾳ, ἐς ἄγαν ἐπῆρται. κιθαριστῇ δὲ ἀγαθῷ ὄντι ᾠδή τις αὐτῷ ἐς ξυμφορὰν τὴν παροῦσαν πεποίηται, ἣν δὴ πρὸς κιθάραν θρηνῆσαί τε καὶ ἀποκλαῦσαι ἐπείγεται. ταῦτα ἀκούσας Φάρας καὶ περιαλγήσας τε καὶ τύχην τὴν ἀνθρωπείαν ἀπολοφυράμενος, κατὰ τὰ γεγραμμένα ἐποίει, καὶ πάντα ἔπεμπεν, ὅσων αὐτοῦ ἔχρῃζε Γελίμερ. τῆς μέντοι προσεδρείας οὐδὲν μεθιεὶς ἐφύλασσε μᾶλλον ἢ πρότερον.*

Ἤδη δὲ τριῶν μηνῶν χρόνος ἐν ταύτῃ δὴ τῇ προσ- 7 *εδρείᾳ ἐτρίβη καὶ ὁ χειμὼν ἐτελεύτα. καὶ ὁ Γελίμερ ἐδεδίει, τοὺς πολιορκοῦντας ἐπ' αὐτὸν οὐκ ἐς μακρὰν ἀναβήσεσθαι ὑποτοπάζων, καὶ τῶν οἱ ξυγγενῶν παι-*

μιον χωρία ἔσχον, ἐντός τε καὶ ἐκτὸς ποταμοῦ Ἴστρου, ἔνθα δὴ καὶ ἐς ἐμὲ ἵδρυνται.

3 Τῶν δὲ δὴ ἄλλων Οὐισίγοτθοι μὲν ἐνθένδε ἀνα- στάντες τὰ μὲν πρῶτα ἐς ξυμμαχίαν Ἀρκαδίου βασι- λέως ἀφίκοντο, χρόνῳ δὲ ὕστερον (οὐ γὰρ οἶδε βαρ- βάροις ἐνδιαιτᾶσθαι ἡ ἐς Ῥωμαίους πίστις), ἡγουμένο αὐτοῖς Ἀλαρίχου, ἐς ἐπιβουλὴν ἑκατέρου βασιλέω ἐτράποντο, ἐκ Θράκης τε ἀρξάμενοι ξυμπάσῃ Εὐρώπ ὡς πολεμίᾳ ἐχρήσαντο.
4 βασιλεὺς δὲ Ὀνώριος πρότερο μὲν ἐν Ῥώμῃ καθῆστο, οὐδὲν ὅ τι καὶ πολέμιον ἐ νῷ ἔχων, ἀλλ' ἀγαπῶν, οἶμαι, ἤν τις αὐτὸν ἐν τοῖ βασιλείοις ἡσυχάζειν ἐῴη· ἐπεὶ δὲ οὐκ ἄποθεν οἱ βάρ βαροι, ἀλλά που ἐν Ταυλαντίοις εἶναι στρατῷ μεγάλ ἠγγέλλοντο, καταλιπὼν τὰ βασίλεια οὐδενὶ κόσμῳ ἐ Ῥάβενναν φεύγει, πόλιν ἐχυρὰν ἐς αὐτόν που λήγουσ κειμένην τὸν Ἰόνιον κόλπον. εἰσὶ δὲ οἵ καί φασι αὐτὸν τοὺς βαρβάρους ἐπαγαγέσθαι, στάσεως αὐτ πρὸς τῶν ὑπηκόων γεγενημένης, ἐμοὶ μὲν οὐ πιστ λέγοντες, ὅσα γε τὸ τοῦ ἀνθρώπου ἐκλογίζεσθαι ἦθο
5 οἱ δὲ βάρβαροι, ἐπεὶ οὐδὲν σφίσιν ἀπήντα πολέμιο γίνονται ὠμότατοι ἀνθρώπων ἁπάντων. πόλεις τε γά ὅσας εἷλον, οὕτω κατειργάσαντο, ὥστε οὐδὲν εἰς ἐμ αὐταῖς ἀπολέλειπται γνώρισμα, ἄλλως τε καὶ ἐντὸ τοῦ Ἰονίου κόλπου, πλήν γε δὴ ὅτι πύργον ἕνα πύλην μίαν ἤ τι τοιοῦτο αὐταῖς περιεῖναι ξυνέβ τούς τε ἀνθρώπους ἅπαντας ἔκτεινον, ὅσοι ἐγένον ἐν ποσίν, ὁμοίως μὲν πρεσβύτας, ὁμοίως δὲ νέου οὔτε γυναικῶν οὔτε παίδων φειδόμενοι. ὅθεν εἰς ἔ καὶ νῦν ὀλιγάνθρωπον τὴν Ἰταλίαν ξυμβαίνει εἶνα χρήματα δὲ ἅπαντα ἐληίσαντο ἐκ πάσης Εὐρώπης, κα τό γε κεφάλαιον, ἐν Ῥώμῃ τῶν τε δημοσίων τῶν

ἰδίων οὐδ' ὁτιοῦν ἀπολιπόντες ἐπὶ Γαλλίας ἐχώρησαν.
τρόπῳ δὲ ὅτῳ Ῥώμην Ἀλάριχος εἷλεν, ἐγὼ δηλώσω.

Ἐπειδὴ χρόνος τέ οἱ πολὺς ἐν τῇ προσεδρείᾳ ἐτέ- 6
τριπτο καὶ οὔτε βίᾳ οὔτε τινὶ μηχανῇ ἄλλῃ ἴσχυσε τὸ
χωρίον ἑλεῖν, ἐπενόει τάδε. τῶν ἐν τῷ στρατῷ νεα-
νιῶν οὔπω γενειασκόντων, ἀλλ' ἄρτι ἡβηκότων, τριακο-
σίους ἀπολεξάμενος, οὕσπερ εὖ τε γεγονέναι καὶ ὑπὲρ
τὴν ἡλικίαν ἀρετῆς μεταποιεῖσθαι ἠπίστατο, ἔφασκε
μὲν αὐτοῖς κρύφα, ὡς σφίσι τῶν ἐν Ῥώμῃ πατρικίων
τινάς, ἅτε δούλοις οὖσι δῆθεν τῷ λόγῳ, δωρήσεσθαι
μέλλοι. παρήγγελλε δὲ ὥστε, ἐπειδὰν ἐν ταῖς ἐκείνων
οἰκίαις τάχιστα γένωνται, πρᾳότητα πολλὴν καὶ σω-
φροσύνην ἐνδεικνυμένους ἅπαντα προθύμως ὑπηρετεῖν,
ἅπερ ἂν αὐτοῖς πρὸς τῶν κεκτημένων ἐπικείμενα ᾖ·
ἔπειτα οὐ πολλῷ ὕστερον καὶ ἐν ἡμέρᾳ τακτῇ ἀμφὶ
ἡμέραν μάλιστα μέσην, ἁπάντων ἤδη τῶν αὐτοὺς λη-
ψομένων ὕπνον, ὡς τὸ εἰκός, μετὰ τὰ σιτία αἱρουμέ-
νων, ἐν πύλῃ ἅπαντας τῇ Σαλαρίᾳ καλουμένῃ γενέ-
σθαι, καὶ τούς τε φύλακας οὐδὲν προαισθομένους ἐξ
ἐπιδρομῆς κτεῖναι τάς τε πύλας ἀνοιγνύναι ὡς τάχιστα.
ταῦτα ἐπαγγείλας Ἀλάριχος τοῖς νεανίαις, πρέσβεις 7
αὐτίκα πρὸς τοὺς ἐκ βουλῆς ἔπεμψε, δηλῶν ὅτι ἀγα-
σθείη μὲν αὐτοὺς τῆς ἐς τὸν σφῶν βασιλέα εὐνοίας,
οὐκέτι δὲ τὸ λοιπὸν ἐνοχλήσει, τῆς τε ἀρετῆς καὶ πί-
στεως ἕνεκα, ἧς ἐς ἄγαν μεταποιεῖσθαί εἰσιν ἔνδηλοι,
ὅπως τε αὐτοῦ μνημεῖα παρ' ἀνδράσι καλοῖς τε καὶ
ἀγαθοῖς σῴζοιτο, οἰκέταις τισὶ δωρεῖσθαι βούλοιτο
αὐτῶν ἕκαστον. ταῦτα σημήνας καὶ τοὺς νεανίας οὐκ
ἐς μακρὰν στείλας συσκευάζεσθαι ἐς τὴν ἄφοδον τοὺς
βαρβάρους ἐκέλευε, τούτου τε αἴσθησιν Ῥωμαίοις παρ-
εῖχεν. οἳ δὴ τούς τε λόγους ἄσμενοι ἤκουσαν καὶ τὰ 8

δῶρα δεξάμενοι ἐν πολλῇ εὐπαθείᾳ ἐγένοντο, ἑκαστάτω
τῆς τοῦ βαρβάρου ἐπιβουλῆς ὄντες. οἵ τε γὰρ νέοι
τῷ εὐπειθέστεροι τοῖς κεκτημένοις εἶναι τὸ ὕποπτον
ἀπεκρούοντο, τοῦ τε στρατοπέδου οἱ μὲν ἤδη ἐξανιστά-
μενοί τε καὶ διαλύοντες τὴν προσεδρείαν ἐφαίνοντο,
οἱ δὲ ὅσον οὔπω ταὐτὸ τοῦτο ποιήσειν ἐπίδοξοι ἦσαν.
9 ἐπεὶ δὲ ἡ κυρία παρῆν, Ἀλάριχος μὲν ἅπαν ἐξοπλίσας
τὸ στράτευμα ὡς ἐς τὴν ἔφοδον ἐν παρασκευῇ εἶχεν
ἄγχιστα πύλης τῆς Σαλαρίας· ἐνταῦθα γὰρ ἐνστρατο-
πεδευσάμενος τῆς πολιορκίας κατ' ἀρχὰς ἔτυχε. ξύμ-
παντες δὲ οἱ νεανίαι καιρῷ τῆς ἡμέρας τῷ ξυγκειμένῳ
ἐς ταύτην δὴ τὴν πύλην γενόμενοι τούς τε φύλακας
ἐκ τοῦ αἰφνιδίου ἐπελθόντες ἅπαντας ἔκτειναν, τάς τε
πύλας ἀνακλίναντες κατ' ἐξουσίαν Ἀλάριχόν τε καὶ
τὴν στρατιὰν τῇ πόλει ἐδέξαντο, οἱ δὲ τάς τε οἰκίας
ἐνέπρησαν, αἳ τῆς πύλης ἄγχιστα ἦσαν, ἐν αἷς ἦν καὶ
ἡ Σαλουστίου, τοῦ Ῥωμαίοις τὸ παλαιὸν τὴν ἱστορίαν
γράψαντος, ἧς δὴ τὰ πλεῖστα ἡμίκαυτα καὶ ἐς ἐμὲ
ἕστηκε. τήν τε πόλιν ὅλην ληισάμενοι καὶ Ῥωμαίων
10 τοὺς πλείστους διαφθείραντες πρόσω ἐχώρουν. τότε
λέγουσιν ἐν Ῥαβέννῃ Ὀνωρίῳ τῷ βασιλεῖ τῶν τινα
εὐνούχων δηλονότι ὀρνιθοκόμον ἀγγεῖλαι, ὅτι δὴ Ῥώμη
ἀπόλωλε. καὶ τὸν ἀναβοήσαντα φάναι· 'Καίτοι ἔναγχος
ἐδήδοκεν ἐκ χειρῶν τῶν ἐμῶν.' εἶναι γάρ οἱ ἀλε-
κτρυόνα ὑπερμεγέθη, Ῥώμην ὄνομα, καὶ τὸν μὲν
εὐνοῦχον ξυνέντα τοῦ λόγου εἰπεῖν Ῥώμην τὴν πόλιν
πρὸς Ἀλαρίχου ἀπολωλέναι. ἀνενεγκόντα δὲ τὸν βα-
σιλέα ὑπολαβεῖν· 'Ἀλλ' ἔγωγε, ὦ ἑταῖρε, Ῥώμην μοι
ἀπολωλέναι τὴν ὄρνιν ᾠήθην.' τοσαύτη ἀμαθίᾳ τὸν
βασιλέα τοῦτον ἔχεσθαι λέγουσιν.

II. Tristis Gelimeris exitus (B. Vand. II 6—7. 9).

Gelimer rex Vandalorum a Phara legato Belisari in monte Mauretaniae Pappua circumclusus obsidione premitur (a. 534).

1 *Φάρας τῇ προσεδρείᾳ ἤδη ἄλλως τε καὶ χειμῶνος ὥρᾳ ἀχθόμενος, ἅμα δὲ καὶ οὐκ ἂν οἰόμενος οἷός τε εἶναι ἐμποδὼν σφίσι τοὺς ἐκείνῃ Μαυρουσίους στήσεσθαι, τῇ ἐς Παππούαν ἀναβάσει ξὺν προθυμίᾳ πολλῇ ἐνεχείρησεν. ἅπαντας μὲν οὖν εὖ μάλα ἐξοπλίσας τοὺς ἑπομένους ἀνέβαινε. βεβοηθηκότων δὲ τῶν Μαυρουσίων, ἅτε ἐν χωρίῳ ἀνάντει τε καὶ λίαν δυσβάτῳ, ἡ λύμη εὐπετῶς ἐπὶ τοὺς ἀνιόντας ἐγίνετο. καρτερῶς δὲ τοῦ Φάρα βιαζομένου τὴν ἄνοδον, δέκα μὲν καὶ ἑκατὸν τῶν ἀμφ' αὐτὸν ἐν τῷ ἔργῳ τούτῳ ἀπέθανον, αὐτὸς δὲ ξὺν τοῖς ἐπιλοίποις ἀποκρουσθεὶς ἀνεχώρησε, καὶ ἀπ' αὐτοῦ ἀποπειράσασθαι μὲν τῆς ἀνόδου, ἀντιστατοῦντος τοῦ πράγματος, οὐκέτι ἐτόλμα, φυλακὴν δὲ κατεσπουδασμένην, ὡς ἔνι μάλιστα, κατεστήσατο, εἴ πως οἱ πιεζόμενοι τῷ λιμῷ οἱ ἐν Παππούᾳ σφᾶς αὐτοὺς ἐγχειρίσειαν, καὶ οὔτε ἀποδιδράσκειν αὐτοὺς ἐνεδίδου οὔτε τι τῶν ἔξωθεν ἐς αὐτοὺς φέρεσθαι.*
2 *ἔνθα δὴ τῷ τε Γελίμερι καὶ τοῖς ἀμφ' αὐτὸν ἀδελφιδοῖς τε καὶ ἀνεψιαδοῖς οὖσι καὶ ἄλλοις εὖ γεγονόσι ξυνέπεσε κακοπαθείᾳ χρῆσθαι, ἣν ὅπως ποτὲ εἴποι τις, οὐκ ἂν ὁμοίως τοῖς πράγμασι φράζοι. ἐθνῶν γὰρ ἁπάντων ὧν ἴσμεν ἡμεῖς ἁβρότατον μὲν τὸ τῶν Βανδίλων, ταλαιπωρότατον δὲ τὸ Μαυρουσίων τετύχηκεν εἶναι. οἱ μὲν γάρ, ἐξ ὅτου Λιβύην ἔσχον, βαλανείοις τε οἱ ξύμπαντες ἐπεχρῶντο ἐς ἡμέραν ἑκάστην καὶ τραπέζῃ ἅπασιν εὐθηνούσῃ, ὅσα δὴ γῆ τε καὶ θάλασσα ἥδιστά τε καὶ ἄριστα φέρει. ἐχρυσοφόρουν δὲ ὡς ἐπὶ πλεῖστον, καὶ Μηδικὴν ἐσθῆτα, ἣν νῦν Σηρικὴν κα-*

λοῦσιν, ἀμπεχόμενοι, ἔν τε θεάτροις καὶ ἱπποδρομίοι
καὶ τῇ ἄλλῃ εὐπαθείᾳ, καὶ πάντων μάλιστα κυνηγε-
σίοις, τὰς διατριβὰς ἐποιοῦντο. καὶ σφίσιν ὀρχηστα
καὶ μῖμοι ἀκούσματά τε συχνὰ καὶ θεάματα ἦν, ὅσ
μουσικά τε καὶ ἄλλως ἀξιοθέατα ἐν ἀνθρώποις ξυμ-
βαίνει εἶναι. καὶ ᾤκηντο μὲν αὐτῶν οἱ πολλοὶ ἐ
παραδείσοις ὑδάτων καὶ δένδρων εὖ ἔχουσι· ξυμπόσι
δὲ ὅτι πλεῖστα ἐποίουν, καὶ ἔργα τὰ ἀφροδίσια πάντ
3 αὐτοῖς ἐν μελέτῃ πολλῇ ἤσκητο. Μαυρούσιοι δὲ οἰκοῦσ
μὲν ἐν πνιγηραῖς καλύβαις, χειμῶνί τε καὶ θέρου
ὥρᾳ καὶ ἄλλῳ τῷ ξύμπαντι χρόνῳ, οὔτε χιόσιν οὔτ
ἡλίου θέρμῃ ἐνθένδε οὔτε ἄλλῳ ὁτῳοῦν ἀναγκαίῳ κακ
ἐξιστάμενοι. καθεύδουσι δὲ ἐπὶ τῆς γῆς κώδιον ο
εὐδαίμονες αὐτοῖς, ἂν οὕτω τύχοι, ὑποστρωννύντε
ἱμάτια δὲ σφίσιν οὐ ξυμμεταβάλλειν ταῖς ὥραις νόμο
ἀλλὰ τριβώνιόν τε ἁδρὸν καὶ χιτῶνα τραχὺν ἐς καιρὸ
ἅπαντα ἐνδιδύσκονται. ἔχουσι δὲ οὔτε ἄρτον οὔτ
οἶνον οὔτε ἄλλο οὐδὲν ἀγαθόν, ἀλλὰ τὸν σῖτον, ἢ τὰ
ὀλύρας τε καὶ κριθάς, οὔτε ἕψοντες οὔτε ἐς ἄλευρ
ἢ ἄλφιτα ἄγοντες οὐδὲν ἀλλοιότερον ἢ τὰ ἄλλα ζῷ
4 ἐσθίουσι. τοιούτοις δὴ οὖσι τοῖς Μαυρουσίοις ο
ἀμφὶ τὸν Γελίμερα συχνὸν ξυνοικήσαντες χρόνον τή
τε ξυνειθισμένην αὐτοῖς δίαιταν ἐς τοῦτο ταλαιπωρία
μεταβαλόντες, ἐπειδὴ καὶ αὐτὰ σφᾶς τὰ ἀναγκαῖα ἤδ
ἐπελελοίπει, οὐκέτι ἀντεῖχον, ἀλλὰ καὶ τὸ τεθνάνα
αὐτοῖς ἥδιστον καὶ τὸ δουλεύειν ἥκιστα αἰσχρὸν ἐνο-
μίζετο.

5 Ὧν δὴ Φάρας αἰσθόμενος γράφει πρὸς Γελίμερ
ἐπιστολήν. ταύτην δ' ἀναλεξάμενος ὁ Γελίμερ ἀπο-
κλαύσας τε δεινῶς ἀντέγραψεν ὧδε· 'Καὶ τῆς ξυμβου-
λῆς, ἥν μοι ἐποιήσω, πολλὴν ἔχω σοι χάριν κα

πολεμίῳ ἀδικοῦντι δουλεύειν οὐκ ἀνεκτὸν οἶμαι, παρ'
οὗ ἂν δίκην εὐξαίμην λαβεῖν, εἴ μοι ὁ θεὸς ἵλεως εἴη,
ὅς γε οὐδὲν πώποτε ἄχαρι πρὸς ἐμοῦ οὔτε ἔργῳ πα-
θὼν οὔτε λόγῳ ἀκούσας πολέμῳ μὲν αἰτίαν οὐκ ἔχοντι
παρέσχετο σκῆψιν, ἐμὲ δὲ ἐς τοῦτο μετήνεγκε τύχης,
Βελισάριον οὐκ οἶδα ὅθεν ἐπενεγκών. καίτοι καὶ
αὐτῷ ἀνθρώπῳ γε ὄντι καὶ βασιλεῖ οὐδὲν ἀπεικὸς
ξυμβήσεσθαί τι ὧν οὐκ ἂν ἕλοιτο. ἐγὼ μέντοι περαι-
τέρω τι γράφειν οὐκ ἔχω. ἀφείλετο γάρ με τὴν ἔν-
νοιαν ἡ παροῦσα τύχη. ἀλλὰ χαῖρέ μοι, ὦ φίλε Φάρα,
καί μοι κιθάραν τε καὶ ἄρτον ἕνα καὶ σπόγγον δεο-
μένῳ πέμπε.' Ταῦτα ἐπεὶ ἀπενεχθέντα ὁ Φάρας ἔγνω, 6
χρόνον δή τινα διηπορεῖτο τῆς ἐπιστολῆς τὸ ἀκροτε-
λεύτιον ξυμβαλεῖν οὐκ ἔχων, ἕως οἱ ὁ ταύτην κομίσας
ἔφρασεν, ὡς ἄρτου μὲν ἑνὸς δέοιτο Γελίμερ ἐπιθυμῶν
ἐς θέαν τε αὐτοῦ ἀφικέσθαι καὶ βρῶσιν, ἐπεὶ ἐξ οὗ
εἰς Παππούαν ἀναβέβηκεν, οὐδένα πω ἄρτον ὠπτη-
μένον εἶδε. σπόγγος δέ οἱ ἀναγκαῖος εἴη· τοῖν γὰρ
οἱ ὀφθαλμοῖν ἅτερος, τραχυνόμενος τῇ ἀλουσίᾳ, ἐς
ἄγαν ἐπῆρται. κιθαριστῇ δὲ ἀγαθῷ ὄντι ᾠδή τις
αὐτῷ ἐς ξυμφορὰν τὴν παροῦσαν πεποίηται, ἣν δὴ
πρὸς κιθάραν θρηνῆσαί τε καὶ ἀποκλαῦσαι ἐπείγεται.
ταῦτα ἀκούσας Φάρας καὶ περιαλγήσας τε καὶ τύχην
τὴν ἀνθρωπείαν ἀπολοφυράμενος, κατὰ τὰ γεγραμμένα
ἐποίει, καὶ πάντα ἔπεμπεν, ὅσων αὐτοῦ ἔχρῃζε Γελίμερ.
τῆς μέντοι προσεδρείας οὐδὲν μεθιεὶς ἐφύλασσε μᾶλ-
λον ἢ πρότερον.

Ἤδη δὲ τριῶν μηνῶν χρόνος ἐν ταύτῃ δὴ τῇ προσ- 7
εδρείᾳ ἐτρίβη καὶ ὁ χειμὼν ἐτελεύτα. καὶ ὁ Γελίμερ
ἐδεδίει, τοὺς πολιορκοῦντας ἐπ' αὐτὸν οὐκ ἐς μακρὰν
ἀναβήσεσθαι ὑποτοπάζων, καὶ τῶν οἱ ξυγγενῶν παι-

δίων τὰ πλεῖστα σώματα σκώληκας ἐν ταύτῃ δὴ τῇ
ταλαιπωρίᾳ ἠφίει. καὶ ἐν ἅπασι μὲν περιώδυνος ἦν,
ἐς ἅπαντα δέ, πλήν γε δὴ τοῦ θνήσκειν, δυσάρεστος·
τῇ μέντοι κακοπαθείᾳ παρὰ δόξαν ἀντεῖχεν, ἕως οἱ
8 θέαμα ἰδεῖν ξυνηνέχθη τοιόνδε. γυνή τις Μαυρουσία
σῖτον ὀλίγον ἀμωσγέπως συγκοψαμένη, μᾶζαν δὲ ἐν-
θένδε βραχεῖαν κομιδῇ ποιησαμένη ἐς ζέουσαν τὴν
σποδιὰν τὴν ἐν τῇ ἐσχάρᾳ ἐνέβαλλεν. οὕτω γὰρ νόμος
ἐν Μαυρουσίοις τοὺς ἄρτους ὀπτᾶσθαι. παρὰ ταύτην
δὴ τὴν ἐσχάραν δύο παῖδε καθημένω καὶ τῷ λιμῷ
ὑπεράγαν βιαζομένω, ἅτερος μὲν αὐτῆς τῆς ἀνθρώπου
υἱός, ἢ τὴν μᾶζαν ἐμβεβλημένη ἐτύγχανεν, ὁ δὲ ἕτερος
Γελίμερος ἀδελφιδοῦς ὤν, ἐβουλέσθην ταύτην δὴ τὴν
μᾶζαν ἁρπάσασθαι, ἐπειδὰν αὐτοῖς τάχιστα ὠπτῆσθαι
δοκῇ. τούτοιν τοῖν παίδοιν ὁ μὲν Βανδίλος προτερή-
σας ἔφθασέ τε τὴν μᾶζαν ἁρπάσας καὶ ζέουσαν ἔτι
ὡς μάλιστα σποδιᾶς τε ἀνάπλεων οὖσαν, ὑπερβιαζο-
μένου αὐτὸν τοῦ λιμοῦ, ἐς τὸ στόμα ἐμβαλλόμενος
ἤσθιεν, ὁ δὲ ἕτερος λαβόμενος αὐτοῦ τῶν ἐν τῇ κε-
φαλῇ τριχῶν ἐπάταξέ τε κατὰ κόρρης καὶ αὖθις ῥαπί-
σας ἠνάγκασε τὴν μᾶζαν ξὺν βίᾳ πολλῇ ἀποβαλεῖν
9 ἤδη ἐν τῇ φάρυγγι οὖσαν. τοῦτο τὸ πάθος οὐκ ἐν-
εγκὼν Γελίμερ (παρηκολούθει γὰρ ἐξ ἀρχῆς ἅπασιν)
ἐθηλύνθη τε τὴν διάνοιαν καὶ πρὸς Φάραν ὡς τά-
χιστα ἔγραψε τάδε· Εἴ τινι καὶ ἄλλῳ τετύχηκε πώ-
ποτε τὰ δεινὰ καρτερήσαντι ἀπ' ἐναντίας ἰέναι τῶν
πρόσθεν αὐτῷ βεβουλευμένων, τοιοῦτον δή τινα καὶ
ἐμὲ νόμιζε εἶναι, ὦ βέλτιστε Φάρα. εἰσῆλθε γάρ με
ἡ σὴ ξυμβουλή, ἣν δὴ ἀλογῆσαι ἥκιστα βούλομαι. οὐ
γὰρ ἂν ἀντιτείνοιμι περαιτέρω τῇ τύχῃ οὐδὲ πρὸς τὴν
πεπρωμένην ξυγομαχοίην, ἀλλ' ἕψομαι αὐτίκα δὴ μάλα

*ὅπῃ ἂν αὐτῇ ἐξηγεῖσθαι δοκῇ· ὅπως μέντοι τὰ πιστὰ
λάβοιμι, ἀναδέχεσθαι Βελισάριον βασιλέα ποιήσειν
ἅπαντα, ὅσα μοι ἔναγχος ὑπεδέξω. ἐγὼ γάρ, ἐπειδὰν
τάχιστα τὴν πίστιν δοίητε, ἐμαυτόν τε ὑμῖν ἐγχειριῶ
καὶ ξυγγενεῖς τούσδε καὶ Βανδίλους, ὅσοι ξὺν ἡμῖν
ἐνταῦθά εἰσιν.'*

Τοσαῦτα μὲν τῷ Γελίμερι ἐν τῇ ἐπιστολῇ τῇδε 10
*ἐγέγραπτο. Φάρας δὲ ταῦτά τε Βελισαρίῳ καὶ τὰ
πρότερον γεγραμμένα σφίσι πρὸς ἀλλήλους σημήνας
ἐδεῖτο ὡς τάχιστά οἱ δηλῶσαι, ὅ τι ἂν αὐτῷ βουλο-
μένῳ εἴη. Βελισάριος δὲ (καὶ γάρ οἱ ἐν ἐπιθυμίᾳ
μεγάλῃ ἦν ζῶντα Γελίμερα βασιλεῖ ἀγαγεῖν) ἐπειδὴ
τάχιστα τὰ γράμματα ἀνελέξατο, περιχαρής τε ἐγεγόνει
καὶ Κυπριανὸν φοιδεράτων ἄρχοντα ἐς Παππούαν ἐκέ-
λευεν ἰέναι ξὺν ἄλλοις τισίν, ὅρκους τε αὐτοῖς ἐπ-
έστελλε περὶ σωτηρίας Γελίμερός τε καὶ τῶν ξὺν αὐτῷ
διδόναι, καὶ ὡς ἐπίτιμός τε παρὰ βασιλεῖ καὶ οὐδενὸς
ἐνδεὴς εἴη. οἵπερ ἐπεὶ παρὰ τὸν Φάραν ἀφίκοντο,
ἦλθον ξὺν αὐτῷ ἔς τι χωρίον παρὰ τὸν τοῦ ὄρους
πρόποδα, ἔνθα σφίσι Γελίμερ μετάπεμπτος ἦλθε καὶ
τὰ πιστὰ λαβὼν ἧπερ ἐβούλετο ἐς Καρχηδόνα ξὺν
αὐτοῖς ἧκεν. ἐτύγχανε δὲ Βελισάριος διατριβήν τινα* 11
*ἐν τῷ τῆς πόλεως προαστείῳ ποιούμενος, ὅπερ Ἄκλας
καλοῦσιν. ἔνθα δὴ ὁ Γελίμερ παρ' αὐτὸν εἰσῆλθε,
γελῶν γέλωτα οὔτε φαῦλον οὔτε κρύπτεσθαι ἱκανὸν
ὄντα, τῶν τε αὐτὸν θεωμένων ἔνιοι μὲν τῇ τοῦ πά-
θους ὑπερβολῇ ἀπάντων τε αὐτῶν ἐκστῆναι τῶν κατὰ
φύσιν ὑπώπτευον καὶ παραπαίοντα ἤδη λόγῳ οὐδενὶ
τὸν γέλωτα ἔχειν. οἱ μέντοι φίλοι ἀγχίνουν τε τὸν
ἄνθρωπον ἐβούλοντο εἶναι καὶ ἅτε οἰκίας μὲν βασιλι-
κῆς γεγονότα, ἐς βασιλείαν δὲ ἀναβεβηκότα, καὶ δύ-*

ναμίν τε ἰσχυρὰν χρήματά τε μεγάλα ἐκ παιδὸς ἄχρι
καὶ ἐς γῆρας περιβαλόμενον, εἶτα ἐς φυγήν τε καὶ δέος
πολὺ ἐμπεσόντα καὶ κακοπάθειαν τὴν ἐν Παππούᾳ ὑπο-
στάντα, καὶ νῦν ἐν αἰχμαλώτων λόγῳ ἥκοντα, πάντων
τε ταύτῃ τῶν ἀπὸ τῆς τύχης ἀγαθῶν τε καὶ φλαύρων
ἐν πείρᾳ γεγονότα, ἄλλου οὐδενὸς ἄξια τὰ ἀνθρώπει-
12 ἢ γέλωτος πολλοῦ οἴεσθαι εἶναι. περὶ μὲν οὖν τοῦ
γέλωτος, ὃν Γελίμερ ἐγέλα, λεγέτω ἕκαστος, ὥς π-
γινώσκει, καὶ ἐχθρὸς καὶ φίλος. Βελισάριος δὲ ἐ-
βασιλέα ὡς Γελίμερ δοριάλωτος εἴη ἐν Καρχηδόνι ἀν-
ενεγκὼν ᾔτει ξὺν αὐτῷ ἐς Βυζάντιον ἀφικέσθαι. ἅμ-
δὲ αὐτόν τε καὶ Βανδίλους ἅπαντας οὐκ ἐν ἀτιμί-
ἐφύλασσε καὶ τὸν στόλον ἐν παρασκευῇ ἐποιεῖτο.
13 Βελισάριος δὲ ἅμα Γελίμερί τε καὶ Βανδίλοις ἐ-
Βυζάντιον ἀφικόμενος γερῶν ἠξιώθη, ἃ δὴ ἐν τοῖ-
ἄνω χρόνοις Ῥωμαίων στρατηγοῖς τοῖς νίκας τὰς με-
γίστας καὶ λόγου πολλοῦ ἀξίας ἀναδησαμένοις διετετ-
χατο. χρόνος δὲ ἀμφὶ ἐνιαυτοὺς ἑξακοσίους παρφ-
χηκεν ἤδη, ἐξ ὅτου ἐς ταῦτα τὰ γέρα οὐδεὶς ἐληλύθει
ὅτι μὴ Τίτος τε καὶ Τραϊανὸς καὶ ὅσοι ἄλλοι αὐτο-
κράτορες στρατηγήσαντες ἐπί τι βαρβαρικὸν ἔθνος ἐνί-
14 κησαν. τά τε γὰρ λάφυρα ἐνδεικνύμενος καὶ τὰ τοῦ
πολέμου ἀνδράποδα ἐν μέσῃ πόλει ἐπόμπευσεν, ὃν δ-
θρίαμβον ἐκάλουν Ῥωμαῖοι, οὐ τῷ παλαιῷ μέντο-
τρόπῳ, ἀλλὰ πεζῇ βαδίζων ἐκ τῆς οἰκίας τῆς αὐτο-
ἄχρι ἐς τὸν ἱππόδρομον· κἀνταῦθα αὖθις ἕως ἐς τὸ-
χῶρον ἀφίκετο, οὗ δὴ ὁ θρόνος ὁ βασίλειός ἐστι-
ἦν δὲ λάφυρα μέν, ὅσα δὴ ὑπουργίᾳ τῇ βασιλέω-
ἀνεῖσθαι εἰώθει, θρόνοι τε χρυσοῖ καὶ ὀχήματα, ο-
δὴ τὴν βασιλέως γυναῖκα ὀχεῖσθαι νόμος, καὶ κόσμο-
πολὺς ἐκ λίθων ἐντίμων συγκείμενος, ἐκπώματά τ-

*χρυσᾶ, καὶ τὰ ἄλλα ξύμπαντα ὅσα ἐς τὴν βασιλέως
θοίνην χρήσιμα. ἦν δὲ καὶ ἄργυρος ἕλκων μυριάδας
ταλάντων πολλὰς καὶ πάντων τῶν βασιλικῶν κειμηλίων
πάμπολύ τι χρῆμα, ἅτε Γιζερίχου τὸ ἐν Ῥώμῃ σεσυλη-
κότος παλάτιον, ἐν τοῖς καὶ τὰ Ἰουδαίων κειμήλια ἦν,
ἅπερ Οὐεσπασιανοῦ Τίτος μετὰ τὴν τῶν Ἱεροσολύμων
ἅλωσιν ἐς Ῥώμην ξὺν ἑτέροις τισὶν ἤνεγκεν. ἀνδρά-* 15
*ποδα δὲ ἦν τοῦ θριάμβου Γελίμερ τε αὐτός, ἐσθῆτά
πού τινα ἐπὶ τῶν ὤμων ἀμπεχόμενος πορφυρᾶν, καὶ
τὸ ξυγγενὲς ἅπαν, Βανδίλων τε ὅσοι εὐμήκεις τε ἄγαν
καὶ καλοὶ τὰ σώματα ἦσαν. ὡς δὲ ἐν τῷ ἱπποδρόμῳ
Γελίμερ ἐγεγόνει καὶ τόν τε βασιλέα ἐπὶ βήματος
ὑψηλοῦ καθήμενον τόν τε δῆμον ἐφ' ἑκάτερα ἑστῶτα
εἶδε καὶ αὑτὸν οὗ ἦν κακοῦ περισκοπῶν ἔγνω, οὔτε
ἀπέκλαυσεν οὔτε ἀνῴμωξεν, ἐπιλέγων δὲ οὐκ ἐπαύ-
σατο κατὰ τὴν Ἑβραίων γραφήν· 'ματαιότης ματαιοτή-
των, τὰ πάντα ματαιότης.' ἀφικόμενον δὲ αὐτὸν κατὰ* 16
*τὸ βασιλέως βῆμα τὴν πορφυρίδα περιελόντες, πρηνῆ
πεσόντα προσκυνῆσαι Ἰουστινιανὸν βασιλέα ἠνάγκασαν.
τοῦτο δὲ καὶ Βελισάριος ἐποίει, ἅτε ἱκέτης βασιλέως
ξὺν αὐτῷ γεγονώς. βασιλεύς τε Ἰουστινιανὸς καὶ ἡ
βασιλὶς Θεοδώρα τὰς Ἰλδερίχου παῖδάς τε καὶ ἐκγόνους
πάντας τοὺς ἐκ Οὐαλεντινιανοῦ βασιλέως ξυγγενείας
χρήμασιν ἱκανοῖς ἐδωρήσαντο, καὶ Γελίμερι χωρία οὐκ
εὐκαταφρόνητα ἐν Γαλατίᾳ δόντες ὁμοῦ τοῖς ξυγγενέ-
σιν ἐνταῦθα οἰκεῖν ξυνεχώρησαν. ἐς πατρικίους μέν-
τοι ἀνάγραπτος Γελίμερ ἥκιστα ἐγεγόνει, ἐπεὶ οὐ μετα-
τίθεσθαι τῆς Ἀρείου δόξης ἤθελεν.*

III. De Theoderico Magno (a. 493—526. B. Goth. I 1).

Ἐπεὶ τρίτον ἔτος Γότθοις τε καὶ Θευδερίχῳ Ῥώ- 1

βενναν πολιορκοῦσιν ἐτέτριπτο ἤδη, οἵ τε Γότθοι ἀχθόμενοι τῇ προσεδρείᾳ καὶ οἱ ἀμφὶ Ὀδόακρον πιεζόμενοι τῶν ἀναγκαίων τῇ ἀπορίᾳ ὑπὸ διαλλακτῇ τῷ Ῥαβέννης ἱερεῖ ἐς λόγους ἀλλήλοις ξυνίασιν, ἐφ' ᾧ Θευδέριχός τε καὶ Ὀδόακρος ἐν Ῥαβέννῃ ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ διαίτῃ ἕξουσι. καὶ χρόνον μέν τινα διεσώσαντο τὰ ξυγκείμενα, μετὰ δὲ Θευδέριχος Ὀδόακρον λαβών, ὥς φασιν, ἐπιβουλῇ ἐς αὐτὸν χρώμενον, τρόπῳ τε δολερῷ ἐπὶ θοίνην καλέσας ἔκτεινε, καὶ ἀπ' αὐτοῦ βαρβάρων τῶν πολεμίων προσποιησάμενος, ὅσους περιεῖναι ξυνέπεσεν, αὐτὸς ἔσχε τὸ Γότθων τε καὶ Ἰταλιωτῶν κράτος. καὶ βασιλέως μὲν τοῦ Ῥωμαίων οὔτε τοῦ σχήματος οὔτε τοῦ ὀνόματος ἐπιβατεῦσαι ἠξίωσεν, ἀλλὰ ῥήξ τε διεβίω καλούμενος (οὕτω γὰρ σφῶν τοὺς ἡγεμόνας οἱ βάρβαροι καλεῖν νενομίκασι), τῶν μέντοι κατηκόων τῶν αὐτοῦ προὔστη ξύμπαντα περιβαλλόμε-
2 νος, ὅσα τῷ φύσει βασιλεῖ ἥρμοσται. δικαιοσύνης τε γὰρ ὑπερφυῶς ἐπεμελήσατο καὶ τοὺς νόμους ἐν τῷ βεβαίῳ διεσώσατο, ἔκ τε βαρβάρων τῶν περιοίκων ἀσφαλῶς τὴν χώραν διεφύλαξε, ξυνέσεώς τε καὶ ἀνδρείας ἐς ἄκρον ἐληλύθει ὡς μάλιστα. καὶ ἀδίκημα σχεδόν τι οὐδὲν οὔτε αὐτὸς ἐς τοὺς ἀρχομένους εἰργάζετο οὔτε τῳ ἄλλῳ τὰ τοιαῦτα ἐγκεχειρηκότι ἐπέτρεπε, πλήν γε δὴ ὅτι τῶν χωρίων τὴν μοῖραν ἐν σφίσιν αὐτοῖς Γότθοι ἐνείμαντο, ἅπερ Ὀδόακρος τοῖς
3 στασιώταις τοῖς αὐτοῦ ἔδωκεν. ἦν τε ὁ Θευδέριχος λόγῳ μὲν τύραννος, ἔργῳ δὲ βασιλεὺς ἀληθής, τῶν ἐν ταύτῃ τῇ τιμῇ ἐξ ἀρχῆς ηὐδοκιμηκότων οὐδενὸς ἧσσον, ἔρως τε αὐτοῦ ἔν τε Γότθοις καὶ Ἰταλιώταις πολὺς ἤκμασε, καὶ ταῦτα καὶ ἀπὸ τοῦ ἀνθρωπείου τρόπου. ἑτέρων γὰρ ἕτερα ἐν ταῖς πολιτείαις ἀεὶ

αἱρουμένων τὴν ἐφεστῶσαν ἀρχὴν ξυμβαίνει ἀρέσκειν μὲν ἐν τῷ παραυτίκα, οἷς ἂν ἐν ἡδονῇ τὰ πρασσόμενα ᾖ, λυπεῖν δέ, ἣν τῆς γνώμης ἀπ' ἐναντίας χωρήσειεν. Ἔτη δὲ ἐπιβιοὺς ἑπτὰ καὶ τριάκοντα ἐτελεύτησε, φοβερὸς μὲν τοῖς πολεμίοις γεγονὼς ἅπασι, πόθον δὲ αὑτοῦ πολύν τινα ἐς τοὺς ὑπηκόους ἀπολιπών. ἐτελεύτησε δὲ τρόπῳ τοιῷδε.

Σύμμαχος καὶ Βοέτιος, ὁ τούτου γαμβρός, εὐπα- 4
τρίδαι μὲν τὸ ἀνέκαθεν ἤστην, πρώτω δὲ βουλῆς τῆς Ῥωμαίων καὶ ὑπάτω ἐγενέσθην. ἄμφω τε φιλοσοφίαν ἀσκήσαντε καὶ δικαιοσύνης ἐπιμελησαμένω οὐδενὸς ἧσσον, πολλοῖς τε ἀστῶν καὶ ξένων χρήμασι τὴν ἀπορίαν ἰασαμένω καὶ δόξης ἐπὶ μέγα χωρήσαντε ἄνδρας ἐς φθόνον τοὺς πικροτάτους ἐπηγαγέτην. οἷς δὴ συκοφαντοῦσι Θευδέριχος ἀναπεισθείς, ἅτε νεωτέροις πράγμασιν ἐγχειροῦντας, τὼ ἄνδρε τούτω ἔκτεινε καὶ τὰ χρήματα ἐς τὸ δημόσιον ἀνάγραπτα ἐποιήσατο.
δειπνοῦντι δέ οἱ ὀλίγαις ἡμέραις ὕστερον ἰχθύος 5
μεγάλου κεφαλὴν οἱ θεράποντες παρετίθεσαν. αὕτη Θευδερίχῳ ἔδοξε κεφαλὴ Συμμάχου νεοσφαγοῦς εἶναι. καὶ τοῖς μὲν ὀδοῦσιν ἐς χεῖλος τὸ κάτω ἐμπεπηγόσι, τοῖς δὲ ὀφθαλμοῖς βλοσυρόν τι καὶ μανικὸν ὁρῶσιν, ἀπειλοῦντί οἱ ἐπὶ πλεῖστον ἐῴκει. περιδεὴς δὲ τοῦ τέρατος τῷ ὑπερβάλλοντι γεγονὼς καὶ ῥιγώσας ἐκτόπως ἐς κοίτην τὴν αὑτοῦ ἀπεχώρησε δρόμῳ, τριβώνιά τε πολλά οἱ ἐπιθεῖναι κελεύσας ἡσύχαζε. μετὰ δὲ ἅπαντα ἐς Ἐλπίδιον τὸν ἰατρὸν τὰ ξυμπεσόντα ἐξενεγκὼν τὴν ἐς Σύμμαχόν τε καὶ Βοέτιον ἁμαρτάδα ἔκλαιεν. ἀποκλαύσας δὲ καὶ περιαλγήσας τῇ συμφορᾷ οὐ πολλῷ ὕστερον ἐτελεύτησεν, ἀδίκημα τοῦτο πρῶτον καὶ τελευταῖον ἐς τοὺς ὑπηκόους τοὺς αὑτοῦ δράσας,

ὅτι δὴ οὐ διερευνησάμενος, ὥσπερ εἰώθει, τὴν περὶ τοῖν ἀνδροῖν γνῶσιν ἤνεγκεν.

IV. Gothi duce Vitigi urbem Romam a Belisario defensam oppugnant (a. 538. B. Goth. I 22—23).

1 Γότθοι ὀκτωκαιδεκάτῃ ἀπὸ τῆς προσεδρείας ἡμέρᾳ
Οὐιττίγιδος σφίσιν ἡγουμένου ἀμφὶ ἡλίου ἀνατολὰς ὡς
τειχομαχήσοντες ἐπὶ τὸν περίβολον ᾔεσαν, καὶ Ῥω-
μαίους ἅπαντας προϊοῦσα ἡ τῶν πύργων τε καὶ κριῶν
ὄψις παντάπασί τε ἀήθης οὖσα ἐξέπλησσε. Βελισάριος
δὲ βαδίζουσαν ξὺν ταῖς μηχαναῖς ὁρῶν τὴν τῶν πολε-
μίων παράταξιν, ἐγέλα τε καὶ τοὺς στρατιώτας ἡσυχά-
ζειν ἐκέλευε καὶ τῶν χειρῶν μηδαμῶς ἄρχειν, ἕως
αὐτὸς σημήνῃ. ὅτου δὲ ἕνεκα γελῴη, ἐν μὲν τῷ αὐτίκα
2 ἥκιστα ἐδήλου, ὕστερον δὲ ἐγνώσθη. Ῥωμαῖοι μέντοι
αὐτὸν εἰρωνεύεσθαι ὑποτοπήσαντες ἐκάκιζόν τε καὶ
ἀναιδῆ ἐκάλουν, καὶ ὅτι ἐς τὰ πρόσω ἰόντας οὐκ ἀνα-
στέλλοι τοὺς ἐναντίους, δεινὰ ἐποιοῦντο. ἐπεὶ δὲ
Γότθοι τῆς τάφρου ἐγγυτέρω ἵκοντο, πρῶτος ὁ στρα-
τηγὸς τὸ τόξον ἐντείνας αὐτῶν τινα τεθωρακισμένον
τε καὶ τῆς στρατιᾶς ἡγούμενον ἐς τὸν αὐχένα ἐπιτυ-
χὼν βάλλει. καὶ ὁ μὲν καιρίαν πληγεὶς ἔπεσεν ὕπτιος,
ὁ Ῥωμαίων δὲ λεὼς ἅπας ἀνέκραγεν ἐξαίσιόν τε καὶ
ἀκοῆς κρεῖσσον, ἄριστον οἰωνὸν ξυνενεχθῆναι σφίσιν
οἰόμενοι. δὶς δὲ Βελισαρίου τὸ βέλος ἀφιέντος, ταὐτὸ
τοῦτο καὶ αὖθις ξυνέβη, καὶ ἥ τε κραυγὴ μείζων ἀπὸ
τοῦ περιβόλου ᾔρθη καὶ τοὺς πολεμίους ἡσσῆσθαι
3 Ῥωμαῖοι ᾤοντο. Καὶ τότε μὲν Βελισάριος τῇ μὲν
στρατιᾷ πάσῃ κινεῖν τὰ τοξεύματα ἐσήμαινε, τοὺς δὲ
ἀμφ' αὐτὸν ἅπαντας ἐς μόνους τοὺς βόας ἐκέλευε
βάλλειν. πάντων τε τῶν βοῶν αὐτίκα πεσόντων οὔτε

ύργους περαιτέρω κινεῖν οἱ πολέμιοι εἶχον οὔτε
τεχνήσασθαι ἀποκρουόμενοι ἐν αὐτῷ τῷ ἔργῳ
ἦσαν. οὕτω τε Βελισαρίου ἡ πρόνοια ἐγνώσθη
ἡ ἑκαστάτω ὄντας τοὺς πολεμίους ἀναστέλλειν
ϑαι, καὶ ὅτι γελῴη τὴν τῶν βαρβάρων εὐήθειαν,
βόας περιάξειν ἐς τῶν ἐναντίων τὸ τεῖχος οὕτως
κέπτως ἐλπίδα εἶχον. ταῦτα μὲν ἀμφὶ Βελισα-
πύλην ἐγένοντο. Οὐίτιγις δὲ ταύτῃ ἀποκρου- 4
Γότθων μὲν στρατιὰν πολλὴν αὐτοῦ εἴασε,
γα δὲ αὐτῶν βαθεῖαν κομιδῇ ποιησάμενος καὶ
ρχουσιν ἐπιστείλας προσβολὴν μὲν μηδαμῆ τοῦ
λου ποιεῖσθαι, μένοντας δὲ ἐν τάξει βάλλειν τε
ἐς τὰς ἐπάλξεις καὶ ὡς ἥκιστα Βελισαρίῳ και-
νδιδόναι ἐπιβοηθεῖν ἑτέρωθεν τοῦ τείχους, ὅπη
τὸς προσβάλλειν μέλλῃ στρατῷ πλείονι, οὕτω τε
πύλην Πραινεστῖναν ἐπὶ μοῖραν τοῦ περιβόλου,
ωμαῖοι βιβάριον καλοῦσι, καὶ ᾗ τὸ τεῖχος ἐπιμα-
τον μάλιστα, πολλῷ στρατῷ ᾔει, ἐτύγχανον δὲ ἤδη
ιηχαναὶ ἄλλαι πύργων τε καὶ κριῶν καὶ κλίμακες
αὶ ἐνταῦθα οὖσαι.

ν τούτῳ δὲ Γότθων προσβολὴ ἑτέρα ἐς πύλην 5
ηλίαν ἐγίνετο τρόπῳ τοιῷδε. Ἀδριανοῦ τοῦ Ῥω-
ν αὐτοκράτορος τάφος ἔξω πύλης Αὐρηλίας ἐστίν,
ων τοῦ περιβόλου ὅσον λίθου βολήν, θέαμα λό-
πολλοῦ ἄξιον. πεποίηται γὰρ ἐκ λίθου Παρίου,
οἱ λίθοι ἐς ἀλλήλους μεμύκασιν οὐδὲν ἄλλο ἐντὸς
τες. πλευραί τε αὐτοῦ τέσσαρές εἰσιν ἴσαι ἀλλή-
, εὖρος μὲν σχεδόν τι ἐς λίθου βολὴν ἑκάστη
σα, μῆκος δὲ ὑπὲρ τὸ τῆς πόλεως τεῖχος. ἀγάλ-
ι τε ἄνω ἐκ λίθου εἰσὶ τοῦ αὐτοῦ ἀνδρῶν τε καὶ
ν θαυμάσια οἷα· τοῦτον δὴ τὸν τάφον οἱ παλαιοὶ

ἄνθρωποι (ἐδόκει γὰρ τῇ πόλει ἐπιτείχισμα εἶ
τειχίσμασι δύο ἐς αὐτὸν ἀπὸ τοῦ περιβόλου διήκο
μέρος εἶναι τοῦ τείχους πεποίηνται. ἔοικε γοῦν πύρ
ὑψηλῷ πύλης τῆς ἐκείνῃ προβεβλημένῳ. ἦν μὲν
6 τὸ ἐνταῦθα ὀχύρωμα ἱκανώτατον. τούτου δὲ τῷ φ
λακτηρίῳ Κωνσταντῖνον ἐπιστήσας Βελισάριος ἔτυχ
ᾧ δὴ ἐπέστειλε καὶ τῆς φυλακῆς τείχους τοῦ ἐχομέν
ἐπιμελεῖσθαι φαύλην τινὰ καὶ οὐκ ἀξιόλογον φρουρ
ἔχοντος. ἥκιστα γὰρ ταύτῃ ἐπιμάχου ὄντος τοῦ πε
βόλου, ἅτε τοῦ ποταμοῦ παραρρέοντος, οὐδεμίαν αὐτό
προσβολὴν ἔσεσθαι ὑποτοπήσας οὐκ ἀξιόλογον ἐνταῦ
φυλακτήριον κατεστήσατο, ἀλλ' ὀλίγων οἱ τῶν στρ
τιωτῶν ὄντων τοῖς τῶν χωρίων ἀναγκαιοτάτοις
πλῆθος ἔνειμεν. ἐς πεντακισχιλίους γὰρ μάλιστα
βασιλέως στράτευμα ἐν Ῥώμῃ κατ' ἀρχὰς τῆσδε τ
πολιορκίας ξυνῄει. Κωνσταντῖνος δὲ (καὶ γάρ οἱ ἠ
γέλλοντο οἱ πολέμιοι τῆς ἐς τὸν Τίβεριν ἀποπειρ
μενοι διαβάσεως) δείσας περὶ τῷ ἐκεῖσε τειχίσμα
αὐτὸς μὲν κατὰ τάχος ἐκεῖσε ξὺν ὀλίγοις τισὶν ἐβοήθ
τοῖς δὲ πλείοσι τῆς ἐν τῇ πύλῃ τε καὶ τῷ τάφῳ φρο
7 ρᾶς ἐπιμελεῖσθαι παρήγγειλεν. ἐν τούτῳ δὲ οἱ Γότθ
πύλῃ τῇ Αὐρηλίᾳ καὶ τῷ Ἀδριανοῦ πύργῳ προσέβα
λον μηχανὴν μὲν οὐδεμίαν ἔχοντες, κλιμάκων
πάμπολύ τι ἐπαγόμενοι χρῆμα καὶ τοξευμάτων πλήθ
ἔς τε ἀπορίαν ῥᾷον καταστήσασθαι τοὺς πολεμίο
οἰόμενοι καὶ τοῦ ἐνταῦθα φυλακτηρίου κρατήσειν δ
ὀλιγανθρωπίαν οὐδενὶ πόνῳ. θυρεοὺς δὲ προβεβλ
μένοι ἐβάδιζον οὐδὲν ἐλασσουμένους τῶν ἐν Πέρσα
γέρρων καὶ ἔλαθόν τε τοὺς ἐναντίους ἀγχοτάτω αὐτῶ
ἥκοντες. ὑπὸ γὰρ τῇ στοᾷ κρυπτόμενοι ἔλαθον, ἣ ἐ
τὸν Πέτρου τοῦ ἀποστόλου νεὼν διήκει. ὅθεν δ

γεγονὼς εἶτα ἀπεῖπεν. οἱ μὲν οὖν πεντήκοντα κλέος 3
ὑπὲρ ἀρετῆς ὑπήνεγκαν μέγα, δύο δὲ αὐτῶν διαφερόντως ἐν τῷ πόνῳ τούτῳ ἠρίστευσαν, Παῦλός τε καὶ Αὐσίλας, οἳ δὴ ἐκπεπηδηκότες τῆς φάλαγγος δήλωσιν ἀρετῆς μάλιστα πάντων πεποίηνται. τοὺς μὲν γὰρ ἀκινάκας σπασάμενοι κατέθεντο ἐς τὸ ἔδαφος, τὰ δὲ τόξα ἐντεινάμενοι ἔβαλον ἐπικαιριώτατα στοχαζόμενοι τῶν πολεμίων. καὶ πολλοὺς μὲν ἄνδρας, πολλοὺς δὲ ἵππους διεχρήσαντο, ἕως ἔτι εἶχον τοὺς ἀτράκτους αὐτοῖς αἱ φαρέτραι. ἐπειδὴ δὲ ἅπαντα αὐτοὺς τὰ βέλη ἤδη ἐπελελοίπει, οἱ δὲ τά τε ξίφη ἀνελόμενοι καὶ τὰς ἀσπίδας προβεβλημένοι κατὰ μόνας τοὺς ἐπιόντας ἠμύνοντο. ἐπειδάν τε ἱππευόμενοι τῶν ἐναντίων τινὲς ξὺν τοῖς δόρασιν ἐπ' αὐτοὺς ἴοιεν, οἱ δὲ τοῖς ξίφεσι παίοντες ἀπεκαύλιζον τῶν δοράτων εὐθὺς τὰς αἰχμάς. πολλάκις δὲ αὐτῶν οὕτω δὴ ἀναστελλόντων τὰς τῶν πολεμίων ἐπιδρομὰς ξυνηνέχθη τὸ θατέρου ξίφος (ἦν δὲ οὗτος ἀνὴρ Παῦλος ὀνόματι) συγκεκάμφθαι τῇ ἐς τὰ ξύλα ξυνεχεῖ τομῇ καὶ τὸ παράπαν ἀχρεῖον εἶναι. ὅπερ αὐτίκα μὲν προσουδίζει χαμαί, χερσὶ δὲ ἀμφοτέραις ἐπιλαβόμενος τῶν δοράτων ἀφῄρητο τοὺς ἐπιόντας. τέτταρά τε δόρατα οὕτω τοὺς πολεμίους διαφανῶς ἀφελόμενος αἰτιώτατος γέγονε τοῦ τὴν πρᾶξιν αὐτοὺς ἀπογνῶναι. διὸ δὴ αὐτὸν καὶ ὑπασπιστὴν αὐτοῦ ἴδιον ἀπὸ τοῦ ἔργου τούτου Ναρσῆς τὸ λοιπὸν κατεστήσατο.

Τωτίλας δὲ τεθηπότας τὴν Ῥωμαίων στρατιὰν τούς 4
οἱ ἑπομένους ὁρῶν ξυγκαλέσας ἅπαντας ἔλεξε τάδε· "Ὑστάτην ὑμῖν παραίνεσιν ποιησόμενος ἐνταῦθα ὑμᾶς, ἄνδρες ξυστρατιῶται, ξυνήγαγον. ἄλλης γάρ, οἶμαι, παρακελεύσεως μετὰ τήνδε τὴν ξυμβολὴν οὐκ ἔτι δεήσει, ἀλλὰ τὸν πόλεμον ἐς ἡμέραν μίαν ἀποκεκρίσθαι

ταύτῃ ὁ τῆς πόλεως περίβολός ἐστιν. Παῦλος ἐνταῦθα
φυλακὴν εἶχε ξὺν καταλόγῳ πεζικῷ, οὗ αὐτὸς ἦρχεν.
11 οὐ μὴν οὐδὲ πύλης Φλαμινίας ἀπεπειράσαντο, ἐπεὶ ἐν
χώρῳ κρημνώδει κειμένη οὐ λίαν ἐστὶν εὐπρόσοδος.
οἱ Ῥῆγες ἐνταῦθα πεζικὸν τέλος ἐφύλασσον καὶ Οὐρ-
σικῖνος, ὃς αὐτῶν ἦρχε. ταύτης δὲ μεταξὺ τῆς πύλης
καὶ τῆς ἐν δεξιᾷ ἐχομένης πυλίδος, ἣ Πιγκιανὴ ὀνο-
μάζεται, μοῖρά τις τοῦ περιβόλου δίχα τὸ παλαιὸν ἀπὸ
ταὐτομάτου διαιρεθεῖσα, οὐκ ἐξ ἐδάφους μέντοι, ἀλλ'
ὅσον ἐς μῆκος τοῦ ἡμίσεος, οὐκ ἔπεσε μὲν οὐδὲ ἄλλως
διεφθάρη, ἐκλίθη δὲ οὕτως ἐφ' ἑκάτερα, ὡς τὸ μὲν
ἐκτὸς τοῦ ἄλλου τείχους, τὸ δὲ ἐντὸς φαίνεσθαι. καὶ
ἀπ' αὐτοῦ τὸν περίβολον διερρωγότα Ῥωμαῖοι τῇ σφε-
12 τέρᾳ γλώσσῃ ἐκ παλαιοῦ καλοῦσι· τὸν χῶρον. τοῦτο
δὲ τὸ μέρος καθελεῖν τε καὶ ἀνοικοδομήσασθαι Βελι-
σάριον κατ' ἀρχὰς ἐγχειροῦντα ἐκώλυον Ῥωμαῖοι, Πέ-
τρον σφίσι τὸν ἀπόστολον ὑποσχέσθαι ἰσχυριζόμενοι
αὐτῷ μελήσειν τοῦ ἐνταῦθα φυλακτηρίου. τοῦτον δὲ
τὸν ἀπόστολον σέβονται Ῥωμαῖοι καὶ τεθήπασι πάντων
μάλιστα. ἀπέβη τε αὐτοῖς ἅπαντα ἐν τῷδε τῷ χωρίῳ,
13 ᾗ διενοοῦντο καὶ προσεδόκων. οὐδὲ γὰρ τῇ ἡμέρᾳ
ἐκείνῃ, οὐ μὴν οὐδὲ ἐς τὸν ἅπαντα χρόνον, καθ' ὃν
Γότθοι Ῥώμην ἐπολιόρκουν, οὔτε πολεμίων τις δύναμις
ἐνταῦθα ἀφίκετο οὔτε τινὰ ταραχὴν γενέσθαι ξυνέβη.
καὶ ἐθαυμάζομέν γε, ὅτι οὐδὲ ἐς μνήμην ἡμετέραν ἢ
τῶν πολεμίων αὕτη τοῦ περιβόλου ἡ μοῖρα περὶ πάντα
τὸν χρόνον ἦλθεν, οὔτε τειχομαχούντων οὔτε νύκτωρ
ἐπιβουλευόντων τῷ τείχει, οἷα πολλὰ ἐνεχείρησαν. διὸ
δὴ οὐδὲ ὕστερόν τις ἀνοικοδομήσασθαι τοῦτο ἐτόλμη-
σεν, ἀλλ' ἐς ἡμέραν τήνδε οὕτω τὸ ἐκείνῃ διῄρηται
τεῖχος. ταῦτα μὲν οὖν ὧδέ πη ἔσχεν.

Ἐν δὲ Σαλαρίᾳ τῇ πύλῃ ἀνὴρ εὐμήκης τε καὶ ἀγα- 14
θὸς τὰ πολέμια, θώρακά τε ἐνδιδυσκόμενος καὶ κράνος
ἐν τῇ κεφαλῇ ἔχων ὤν τε οὐκ ἀφανὴς ἐν τῷ τῶν
Γότθων ἔθνει οὐκ ἐν τάξει ξὺν τοῖς ἄλλοις ἔμεινεν,
ἀλλ' ἐπὶ δένδρου ἱστάμενος ἔβαλλε συχνὰ ἐς τὰς ἐπάλ-
ξεις. τοῦτον δὲ τὸν ἄνδρα μηχανὴ ἐν πύργῳ κατὰ
μέρος τὸ λαιὸν οὖσα τύχῃ τινὶ ἔβαλλε. διαβὰν δὲ τόν
τε θώρακα καὶ τὸ τοῦ ἀνθρώπου σῶμα τὸ βέλος ὑπὲρ
ἥμισυ ἐς τὸ δένδρον ἔδυ ἐνέρσει τε αὐτοῦ τὸν ἄνδρα
ξυνδῆσαν νεκρὸν ἤρτησεν. ὅπερ ἐπεὶ οἱ Γότθοι κατ-
εῖδον, κατορρωδήσαντες καὶ βελῶν ἔξω γενόμενοι ἔμε-
νον μὲν ἔτι ἐν τάξει, τοὺς δὲ ἐν τῷ τείχει οὐκ ἔτι
ἐλύπουν.

Βέσσας δὲ καὶ Περάνιος Οὐιτίγιδος ἐν βιβαρίῳ 15
ἰσχυρότατα ἐγκειμένου σφίσι Βελισάριον μετεπέμποντο.
ὁ δὲ δείσας περὶ τῷ ἐνταῦθα τείχει (ἦν γὰρ ταύτῃ
ἐπιμαχώτατον, ὥσπερ εἴρηται) κατὰ τάχος ἐβοήθει
αὐτός, ἕνα τῶν τινα ἐπιτηδείων λιπὼν ἐν Σαλαρίᾳ.
καὶ τοὺς στρατιώτας ὁρῶν ἐν βιβαρίῳ τὴν προσβολὴν
τῶν ἐναντίων πεφοβημένους μεγάλην τε οὖσαν καὶ
πολυάνθρωπον ὑπερφρονεῖν τε τῶν πολεμίων ἐκέλευε
καὶ ἐπὶ τὸ θαρσεῖν ἀντικαθίστη. ἦν δὲ ὁ ταύτῃ 16
χῶρος ὁμαλὸς κομιδῇ καὶ ἀπ' αὐτοῦ ταῖς ἐφόδοις τῶν
προσιόντων ἐγκείμενος. τύχῃ τέ τινι τὸ ἐκείνῃ τεῖχος
οὕτως ἐπὶ πλεῖστον διερρυήκει ὡς τῶν πλίνθων μὴ
λίαν τὴν ξυνθήκην ξυνίστασθαι. Τείχισμα δὲ ἄλλο
βραχὺ περιέβαλλον ἔξωθεν αὐτῷ οἱ πάλαι Ῥωμαῖοι,
οὐκ ἀσφαλείας τινὸς ἕνεκα (οὐ γὰρ οὖν οὐδὲ πύργων
ὀχύρωμα εἶχεν, οὐ μὴν οὐδὲ ἐπάλξεις τινὲς ἐνταῦθα
πεποίηνται οὐδέ τι ἄλλο, ὅθεν ἂν καὶ ἀπώσασθαι
οἷόν τε ἦν τὴν ἐς τὸν περίβολον ἐπιβουλὴν τῶν πολε-

μίων) ἀλλὰ τρυφῆς τινος οὐκ εὐπρεποῦς χάριν,
δὴ λέοντάς τε καὶ τἆλλα θηρία καθείρξαντες ἐντ
τηροῖεν· διὸ δὴ καὶ βιβάριον τοῦτο ὠνόμασται.
γὰρ Ῥωμαῖοι καλοῦσι τὸν χῶρον, οὗ ἂν τῶν ζῴα
17 μὴ χειροήθη τρέφεσθαι εἴωθεν. Οὐίτιγις μὲν οὖ
χανάς τε ἄλλας ἄλλῃ τοῦ τείχους ἡτοίμαζε καὶ
σειν τὸ ἔξω τείχισμα τοὺς Γότθους ἐκέλευεν οἰόμ
ἢν τούτου ἐντὸς γένωνται, πόνῳ οὐδενὶ τοῦ τε
κρατήσειν, ὅπερ οὐδαμῇ ἐχυρὸν ξυνηπίστατο
Βελισάριος δὲ ὁρῶν τοὺς πολεμίους τό τε βιβ
διορύσσοντας καὶ πολλαχῇ τοῦ περιβόλου προσβά
τας, οὔτε ἀμύνειν τοὺς στρατιώτας οὔτε ἐν ταῖς
ξεσι μένειν, ὅτι μὴ λίαν ὀλίγους, εἴα, καίπερ
ξὺν αὐτῷ ἔχων, εἴ τι ἐν στρατοπέδῳ λόγιμον
κάτω δὲ ἅπαντας ἀμφὶ τὰς πύλας ἐν παρασκευῇ
τεθωρακισμένους τε καὶ ξίφη μόνα ἐν χερσὶ φέρο
18 ἐπεὶ δὲ οἱ Γότθοι διελόντες τὸν τοῖχον ἐντὸς
βιβαρίου ἐγένοντο, Κυπριανὸν ξὺν ἄλλοις τισὶ
τάχος ἐπ' αὐτοὺς ἐσβιβάσας ἔργου ἐκέλευεν ἔχεσ
καὶ οἱ μὲν τῷ φόβῳ τοὺς ἐσπεπτωκότας ἅπα
ἔκτεινον οὔτε ἀμυνομένους καὶ ὑπὸ σφῶν αὐτῶν
φθειρομένους ἐν τῇ ἐς τὴν ἔξοδον στενοχωρίᾳ.
δὲ πολεμίων τῷ ἀπροσδοκήτῳ καταπλαγέντων καὶ
ἐν τάξει ξυντεταγμένων, ἀλλὰ ἄλλου ἄλλῃ φερομέ
τοῦ περιβόλου τὰς πύλας ἀνακλίνας Βελισάριος ἐξ
ναίως ἅπαν ἐπὶ τοὺς ἐναντίους ἠφίει τὸ στράτε
19 καὶ οἱ μὲν Γότθοι ἐς ἀλκὴν ἥκιστα ἔβλεπον, ἀλλ
φυγήν, ὅπῃ ἔτυχεν ἕκαστος, ὥρμηντο. ἐπισπόμενοι
Ῥωμαῖοι τοὺς ἀεὶ ἐν ποσὶ ῥᾷστα ἔκτεινον, ἥ τε δία
πολλὴ γέγονεν, ἐπεὶ οἱ Γότθοι μακρὰν ἀπολελειμμ
τῶν σφετέρων χαρακωμάτων τῇδε ἐτειχομάχουν.

ισάριος δὲ τὰς τῶν πολεμίων μηχανὰς καίειν ἐκέλευεν,
πὶ πλεῖστον δὲ ἡ φλὸξ αἰρομένη μείζονα τὴν ἔκπλη-
ιν, ὡς τὸ εἰκός, τοῖς φεύγουσιν ἐνεποίει.

Ἐν τούτῳ δὲ καὶ κατὰ πύλην Σαλαρίαν ξυμπεσεῖν 20
ὴν ὁμοίαν τύχην ξυνέβη, τάς τε πύλας ἐξαπιναίως
ινέῳγον καὶ ἐς τοὺς βαρβάρους ἐκ τοῦ ἀπροσδοκήτου
ἐνέπιπτον τούτους τε οὐκ ἀμυνομένους, ἀλλὰ τὰ νῶτα
στρέψαντας ἔκτεινον καὶ τὰ κατ' αὐτοὺς μηχανήματα
ἔκαιον, καὶ ἥ τε φλὸξ πολλαχῆ τοῦ τείχους ἐπὶ μέγα
ἤρθη, ἥ τε τῶν Γότθων ὑπαγωγὴ κατὰ κράτος ἤδη ἐκ
παντὸς τοῦ περιβόλου ἐγένετο, καὶ ἡ κραυγὴ ἀμφο-
τέρωθεν ὑπερφυὴς ἦν τῶν μὲν ἐν τῷ τείχει Ῥωμαίων
τοῖς διώκουσιν ἐγκελευομένων, τῶν δὲ ἐν τοῖς χαρα-
κώμασι τὴν τοῦ πάθους ὑπερβολὴν ὀδυρομένων. ἀπέ- 21
θανον δὲ Γότθων ἐκείνῃ τῇ ἡμέρᾳ τρισμύριοι, ὡς
αὐτῶν οἱ ἄρχοντες ἰσχυρίζοντο, καὶ τραυματίαι πλείους
ἐγένοντο· ἅτε γὰρ ἐν πλήθει πολλῷ οἵ τε ἀπὸ τῶν
ἐπάλξεων τὰ πλεῖστα ἐτύγχανον εἰς αὐτοὺς βάλλοντες
καὶ οἱ τὰς ἐπεκδρομὰς ποιούμενοι πάμπολύ τι χρῆμα
καταπεπληγμένων τε καὶ φευγόντων ἀνθρώπων διέ-
φθειρον. ἥ τε τειχομαχία πρωὶ ἀρξαμένη ἐτελεύτα ἐς
δείλην ὀψίαν. ταύτην μὲν οὖν τὴν νύκτα ηὐλίσαντο
ἑκάτεροι, Ῥωμαῖοι μὲν ἐν τῷ περιβόλῳ παιανίζοντες
καὶ Βελισάριον ἐν εὐφημίαις ποιούμενοι καὶ τὰ τῶν
νεκρῶν σκυλεύματα ἔχοντες, Γότθοι δὲ τούς τε τραυ-
ματίας σφῶν θεραπεύοντες καὶ τοὺς τελευτήσαντας
ὀδυρόμενοι.

V. Totilas rex Gothorum a Narsete Romanorum duce ad Taginas vincitur (a. 552. B. Goth. IV 29—32).

Τωτίλας πεπυσμένος ἤδη τὰ ἐν Βενετίαις ξυν- 1

ενεχθέντα Τεΐαν μὲν τὰ πρῶτα καὶ τὴν ξὺν αὐτ
στρατιὰν προσδεχόμενος ἐν τοῖς ἐπὶ Ῥώμης χωρίο
ἡσυχῇ ἔμενεν. ἐπειδὴ δὲ παρῆσαν μόνοι τε δισχίλι
ἱππεῖς ἐλείποντο ἔτι, τούτους δὴ οὐκ ἀναμείνας ὁ Τω
τίλας, ἀλλὰ παντὶ ἄρας τῷ ἄλλῳ στρατῷ ὡς τοῖς πο
λεμίοις ἐν ἐπιτηδείῳ ὑπαντιάσων ᾔει. ἐν δὲ τῇ ὁδ
ταύτῃ ὅλην μὲν Τουσκίαν ἀμείψας, ἐν ὄρει δὲ τ
Ἀπεννίνῳ καλουμένῳ γενόμενος αὐτοῦ ἐνστρατοπεδε
σάμενος ἔμεινεν ἄγχιστα κώμης, ἥνπερ οἱ ἐπιχώρι
2 Ταγίνας καλοῦσιν. ἥ τε Ῥωμαίων στρατιὰ Ναρσο
ἡγουμένου οὐ πολλῷ ὕστερον ἐν τῷ ὄρει καὶ αὐτοὶ τ
Ἀπεννίνῳ ἐνστρατοπεδευσάμενοι ἔμενον. Ἦν γέ
γεώλοφον ἐνταῦθα βραχύ, ὃ δὴ καταλαβεῖν ἀμφότερο
διὰ σπουδῆς εἶχον. προτερήσας οὖν Ναρσῆς πεντή
κοντα ἐκ καταλόγου πεζοὺς ἀπολέξας ἀωρὶ νύκτωρ ὡ
καταληψομένους αὐτοὺς ἔστειλε. καὶ οἱ μὲν οὐδενὸ
σφίσι τῶν πολεμίων ἐμποδὼν ἱσταμένου ἐνταῦθα γε
νόμενοι ἡσυχῇ ἔμενον. μεθ' ἡμέραν δὲ τὸ γεγονὸ
ἰδὼν Τωτίλας ἀπώσασθαι αὐτοὺς ἐν σπουδῇ ἔχων
ἴλην ἱππέων εὐθὺς ἐπ' αὐτοὺς ἔπεμψεν. οἱ μὲν οὖν
ἱππεῖς θορύβῳ τε πολλῷ καὶ κραυγῇ ἐπ' αὐτοὺς ἵεντο,
οἱ δὲ ἐς ὀλίγον ξυντεταγμένοι καὶ ταῖς ἀσπίσι φραξά
μενοι ἔστησαν. εἶτα οἱ μὲν Γότθοι σπουδῇ ἐπιόντε
ξυνταράξαντες αὐτοὺς ἤλαυνον, ἀποκρουσθέντες δ
ὑπὸ τῶν πεντήκοντα τὴν πρώτην ὀπίσω ἐχώρουν. κα
αὖθις ἀποπειρασάμενοι καὶ ταὐτὰ πάσχοντες ἀνεπό
διζον. πολλάκις τε οὕτως ἀπαλλάξαντες οὐκέτι ἠνό
χλουν, ἀλλ' ἑτέραν ἴλην Τωτίλας δὴ εἰς τὸ ἔργο
τοῦτο ἀντικαθίστη. ὧνπερ ὁμοίως τοῖς προτέροις ἀπαλ
λαγέντων ἕτεροι ἐς τὴν πρᾶξιν καθίσταντο. πολλάς τ
ἴλας ὁ Τωτίλας οὕτως ἀμείψας ἐπὶ πάσαις τε ἄπρακτο

πολλῷ δὲ ὕστερον ἔκτειναν. οὐ μόνον δὲ Γότθοι 14
ἀνῃροῦντο, ἀλλὰ καὶ τῶν πάλαι Ῥωμαίων στρατιω-
τῶν πλεῖστοι τῶν τὸ πρότερον μὲν ἀποταξαμένων
τῇ Ῥωμαίων στρατιᾷ, ἀπηυτομοληκότων δὲ παρὰ Τω-
τίλαν τε καὶ Γότθους. ὅσοις δὲ δὴ τοῦ Γότθων
στρατοῦ μήτε ἀπολωλέναι μήτε τῶν πολεμίων ταῖς
χερσὶ ξυνηνέχθη γενέσθαι, οὗτοι διαλαθεῖν τε καὶ
φυγεῖν ἴσχυσαν, ὡς αὐτῶν ἕκαστος ἵππου ἢ ποδῶν
ἢ τύχης ἔσχεν ἢ καιροῦ ἢ χώρου φέροντος ἐς τοῦτο
ἐπιτυχεῖν.

Ἤδη μὲν οὖν ἡ μάχη ἐς τοῦτο ἐτελεύτα καὶ ξυν- 15
εσκόταξε παντάπασιν ἤδη. Τωτίλαν δὲ φεύγοντα ἐν
σκότῳ σὺν ἀνδράσιν οὐ πλέον ἢ πέντε οὖσιν, ὧνπερ
ὁ Σκιπούαρ εἷς ἐτύγχανεν ὤν, τῶν τινες Ῥωμαίων
ἐδίωκον οὐκ εἰδότες, ὡς Τωτίλας εἴη· ἐν τοῖς καὶ
Ἄσβαδον τὸν Γήπαιδα ξυνέβαινεν εἶναι. ὅσπερ ἐπεὶ
Τωτίλᾳ ἀγχοτάτω ἐγένετο, ὡς τῷ δόρατι αὐτὸν κατὰ
τῶν νώτων παίσων ἐπῄει. Γοτθικὸν δέ τι μειράκιον
ἐκ τῆς Τωτίλα οἰκίας φεύγοντι τῷ δεσπότῃ ἑπόμενον
τύχην τε ἀπαξιοῦν τὴν τότε παροῦσαν ἀνέκραγε μέγα·
'Τί τοῦτο, ὦ κύων, τὸν δεσπότην τὸν σαυτοῦ πλήξων
ὥρμηκας'; ὁ μὲν οὖν Ἄσβαδος ἐπὶ Τωτίλαν τὸ δόρυ
σθένει παντὶ ὦσεν, αὐτὸς δὲ πρὸς τοῦ Σκιπούαρ τὸν
πόδα πληγεὶς αὐτοῦ ἔμεινε. καὶ αὐτὸς δὲ Σκιπούαρ
πρός του τῶν διωκόντων πληγεὶς ἔστη, οἵ τε ξὺν
Ἀσβάδῳ πεποιημένοι τὴν δίωξιν τέτταρες ὄντες, ὅπως
αὐτὸν διασώσοιντο, οὐκέτι ἐδίωκον, ἀλλὰ ξὺν αὐτῷ
ὀπίσω ἀνέστρεφον. οἱ δὲ Τωτίλᾳ ἐπισπόμενοι διώ- 16
κειν σφᾶς ἔτι τοὺς πολεμίους οἰόμενοι οὐδέν τι ἧσσον
προσήλαυνον, καίπερ αὐτὸν καιρίαν πληγέντα καὶ λει-
ποψυχοῦντα ἐπαγόμενοι, πρυτανευούσης αὐτοῖς τῆς

ξυμβήσεται πάντως. ἀνδραγαθίζεσθε μὲν οὖν, ὦ ἄνδρες, τῷ παντὶ σθένει, μηδεμίαν ἐς ἄλλον τινὰ χρόνον ἀποτιθέμενοι τῆς ψυχῆς ἀρετήν, ταλαιπωρεῖσθε δὲ ἀνάγκῃ τῇ πάσῃ, μηδὲ τὸ σῶμα ταμιευόμενοι ἐς κίνδυνον ἄλλον. ὅπλων δὲ ὑμῖν γινέσθω καὶ ἵππων οὐδεμία φειδὼ ὡς οὐκέτι χρησίμων ἐσομένων ὑμῖν. ἅπαντα γὰρ προκατατρίψασα τὰ ἄλλα ἡ τύχη μόνην τῆς ἐλπίδος τὴν κεφαλὴν ἐς τὴν ἡμέραν ἐφύλαξε ταύτην. ἐξεπίστασθέ τε, ὡς ἐν τῷ παρόντι ἀξιόλεθρος μάλιστα ἡ φυγὴ γίνεται. φεύγουσι γὰρ ἄνθρωποι οἱ λείποντες τὴν τάξιν οὐκ ἄλλου του ἕνεκα ἢ ὅπως βιώσονται· ἢν δὲ θάνατον ἡ φυγὴ προὖπτον ἐπάγεσθαι μέλλῃ, ὁ τὸν κίνδυνον ὑποστὰς τοῦ φυγόντος πολλῷ ἔτι μᾶλλον ἐν ἀσφαλεῖ ἔσται. τοῦ δὲ τῶν πολεμίων ὁμίλου καταφρονεῖν ἄξιον ἐξ ἐθνῶν ξυνειλεγμένων ὅτι μάλιστα πλείστων. ξυμμαχία γὰρ πολλαχόθεν ἐρανισθεῖσα οὔτε τὴν πίστιν οὔτε τὴν δύναμιν ἀσφαλῆ φέρεται, ἀλλὰ σχιζομένη τοῖς γένεσι μερίζεται καὶ ταῖς γνώμαις εἰκότως. ὧν ἐνθυμηθέντες προθυμίᾳ τῇ πάσῃ ὁμόσε τοῖς πολεμίοις χωρήσωμεν.'

5 Τοσαῦτα μὲν ὁ Τωτίλας εἶπε. καὶ περιιὼν τὴν οἰκείαν παράταξιν τοὺς στρατιώτας παρεθάρσυνέ τε καὶ παρεκάλει ἐς εὐτολμίαν προσώπῳ καὶ λόγῳ. καὶ ὁ Ναρσῆς δὲ ταὐτὸ τοῦτο ἐποίει ψέλιά τε καὶ στρεπτοὺς καὶ χαλινοὺς χρυσοῦς ἐπ' αὐτῶν μετεωρίσας καὶ ἄλλα ἄττα τῆς ἐς τὸν κίνδυνον προθυμίας ὑπεκκαύματα ἐνδεικνύμενος. χρόνον δέ τινα μάχης οὐδέτεροι ἦρχον, ἀλλ' ἡσυχῇ ἀμφότεροι ἔμενον προσδεχόμενοι τὴν τῶν ἐναντίων ἐπίθεσιν.

6 Μετὰ δὲ εἷς τοῦ Γότθων στρατοῦ, Κόκας ὄνομα, δόξαν ἐπὶ τῷ δραστηρίῳ διαρκῶς ἔχων, τὸν ἵππον

*ἐξελάσας ἦλθεν ἄγχι τοῦ Ῥωμαίων στρατοῦ προὐκα-
λεῖτό τε, εἴ τις βούλοιτο, πρὸς μονομαχίαν ἐπεξιέναι.
ὁ δὲ Κόκας οὗτος εἷς τῶν Ῥωμαίων στρατιωτῶν
ἐτύγχανεν ὢν τῶν παρὰ Τωτίλαν ἀπηυτομοληκότων τὰ
πρότερα. καί οἱ αὐτίκα τῶν τις Ναρσοῦ δορυφόρων
ἀντίος ἦλθε, γένος Ἀρμένιος, Ἀνζαλᾶς ὄνομα, καὶ
αὐτὸς ἵππῳ ὀχούμενος. ὁ μὲν οὖν Κόκας ὁρμήσας
πρῶτος ὡς τῷ δόρατι παίσων ἐπὶ τὸν πολέμιον ἵετο
καταστοχαζόμενος τῆς ἐκείνου γαστρός. ὁ δὲ Ἀνζαλᾶς
ἐξαπιναίως τὸν ἵππον ἐκκλίνας ἀνόνητον αὐτὸν κατε-
στήσατο γενέσθαι τῆς οἰκείας ὁρμῆς. ταύτῃ τε αὐτὸς
ἐκ πλαγίου τοῦ πολεμίου γενόμενος ἐς πλευρὰν αὐτοῦ
τὴν ἀριστερὰν τὸ δόρυ ὦσε. καὶ ὁ μὲν ἐκ τοῦ ἵππου
πεσὼν ἐς τὸ ἔδαφος νεκρὸς ἔκειτο· κραυγὴ δὲ ἀπὸ τοῦ
Ῥωμαίων στρατοῦ ὑπερφυὴς ἤρθη, οὐδ' ὣς μέντοι
μάχης τινὸς οὐδέτεροι ἦρξαν. Τωτίλας δὲ μόνος ἐν* 7
*μεταιχμίῳ ἐγένετο οὐ μονομαχήσων, ἀλλὰ τὸν καιρὸν
τοῖς ἐναντίοις ἐκκρούσων. Γότθων γὰρ τοὺς ἀπολε-
λειμμένους δισχιλίους ἄγχιστα προσιέναι μαθὼν ἀπε-
τίθετο ἐς τὴν αὐτῶν παρουσίαν τὴν ξυμβολήν, ἐποίει
δὲ τάδε· πρῶτα μὲν οὖν ἠξίου τοῖς πολεμίοις ἐν-
δείκνυσθαι, ὅστις ποτὲ εἴη. τήν τε γὰρ τῶν ὅπλων
σκευὴν κατακόρως τῷ χρυσῷ κατειλημμένην ἠμπίσχετο
καὶ τῶν οἱ φαλάρων κόσμος ἔκ τε τοῦ πίλου καὶ τοῦ
δόρατος ἁλουργός τε καὶ ἄλλως βασιλεῖ πρέπων ἐκρέ-
ματο θαυμαστὸς ὅσος. καὶ αὐτὸς ὑπερφυεῖ ὀχούμενος
ἵππῳ παιδιὰν ἐν μεταιχμίῳ ἔπαιξε τὴν ἐνόπλιον ἐπι-
σταμένως. τόν τε γὰρ ἵππον ἐν κύκλῳ περιελίσσων
ἐπὶ θάτερά τε ἀναστρέφων αὖθις κυκλοτερεῖς πεποίητο
δρόμους. καὶ ἱππευόμενος μεθίει ταῖς αὔραις τὸ δόρυ,
ἀπ' αὐτῶν τε κραδαινόμενον ἁρπάσας μέσον εἶτα ἐκ*

βαρβάρων μᾶλλον τῶν ἄλλων θαυμάζειν οὐκ ἔχω.
γὰρ ἁπάντων προθυμία τε καὶ ἀρετὴ ἐναγώνιος
ἕκαστοί τε τῶν ἐναντίων ἐπιόντων σφίσιν ὡς καρτερ
12 τατα δεξάμενοι τὴν ἐπιδρομὴν ἀπεώσαντο. ἤδη
ἀμφὶ τὰ πρὸς ἑσπέραν ἦν καὶ τὰ στρατόπεδα ἐξα
ναίως ἐκινήθη ἑκάτερα, Γότθων μὲν ἐς ὑπαγωγ
Ῥωμαίων δὲ ἐς τὴν δίωξιν. ὡρμημένοι γὰρ ἐς αὐτο
Γότθοι οὐκ ἀντεῖχον τοῖς πολεμίοις, ἀλλ' ἐνεδίδοσ
ἐπιόντων αὐτῶν καὶ τροπάδην ἀνέστρεφον κατα
πληγμένοι αὐτῶν τῷ τε ὁμίλῳ καὶ τῇ διακοσμίᾳ.
ἀλκήν τε οὐδαμῇ ἔβλεπον, ὥσπερ φάσματα ἐπιπεσόν
σφίσι δειμαίνοντες ἢ ἐξ οὐρανοῦ πολεμούμενοι.
ὀλίγου δὲ εἰς πεζοὺς αὐτοῖς τοὺς σφετέρους ἀφικομ
νοις πολλῷ ἔτι μᾶλλον τὸ κακὸν ἤρετο καὶ πρό
ἐχώρει. οὐ γὰρ ἐν κόσμῳ τὴν ἀναχώρησιν ποιησάμε
ἐς αὐτοὺς ἦλθον ὡς ἀναπνεύσοντές τε καὶ ξὺν αὐτ
ἀναμαχούμενοι ἢ παλίωξιν ἐγχειρίσοντες ἢ ἄλλην τι
πολέμου ἰδέαν, ἀλλ' οὕτως ἀτάκτως, ὥστε αὐτῶν τι
καὶ διεφθάρθαι τῆς ἵππου ἐπιπεσούσης ξυνέπε
διόπερ αὐτοὺς οἱ πεζοὶ οὔτε διαστάντες ἐδέξαντο οὔ
διασωσάμενοι ἔστησαν, ἀλλὰ ξὺν αὐτοῖς προτροπάδ
ἅπαντες ἔφευγον, ἔνθα δὴ καὶ ἀλλήλους ὥσπερ
13 νυκτομαχίᾳ διέφθειρον. ὅ τε τῶν Ῥωμαίων στρατ
τῆς ἐκείνων ἀπολαύοντες ὀρρωδίας φειδοῖ οὐδεμ
τοὺς ἐν ποσὶν ἀεὶ ἔκτεινον οὔτε ἀμυνομένους οὔ
ἀντιβλέπειν τολμῶντας, ἀλλὰ σφᾶς αὐτοὺς τοῖς πολ
μίοις παρεχομένους, ὅ τι βούλοιντο χρῆσθαι, οὔτε δ
αὐτοῖς τά τε δείματα ἐπεκάθιζε καὶ ὁ φόβος ἐκράτε
καὶ αὐτῶν ἑξακισχίλιοι μὲν ἐν τῷ ἔργῳ τούτῳ ἀπ
θανον, πολλοὶ δὲ σφᾶς αὐτοὺς ἐνεχείρισαν τοῖς ἐναν
τίοις. οὓ δὴ αὐτοὺς ἐν μὲν τῷ παρόντι ἐξώγρησαν, ο

πολλῷ δὲ ὕστερον ἔκτειναν. οὐ μόνον δὲ Γότθοι 14
ἀνῃροῦντο, ἀλλὰ καὶ τῶν πάλαι Ῥωμαίων στρατιω-
τῶν πλεῖστοι τῶν τὸ πρότερον μὲν ἀποταξαμένων
τῇ Ῥωμαίων στρατιᾷ, ἀπηυτομοληκότων δὲ παρὰ Τω-
τίλαν τε καὶ Γότθους. ὅσοις δὲ δὴ τοῦ Γότθων
στρατοῦ μήτε ἀπολωλέναι μήτε τῶν πολεμίων ταῖς
χερσὶ ξυνηνέχθη γενέσθαι, οὗτοι διαλαθεῖν τε καὶ
φυγεῖν ἴσχυσαν, ὡς αὐτῶν ἕκαστος ἵππου ἢ ποδῶν
ἢ τύχης ἔσχεν ἢ καιροῦ ἢ χώρου φέροντος ἐς τοῦτο
ἐπιτυχεῖν.

Ἤδη μὲν οὖν ἡ μάχη ἐς τοῦτο ἐτελεύτα καὶ ξυν- 15
εσκόταζε παντάπασιν ἤδη. Τωτίλαν δὲ φεύγοντα ἐν
σκότῳ σὺν ἀνδράσιν οὐ πλέον ἢ πέντε οὖσιν, ὧνπερ
ὁ Σκιπούαρ εἷς ἐτύγχανεν ὤν, τῶν τινες Ῥωμαίων
ἐδίωκον οὐκ εἰδότες, ὡς Τωτίλας εἴη· ἐν τοῖς καὶ
Ἄσβαδον τὸν Γήπαιδα ξυνέβαινεν εἶναι. ὅσπερ ἐπεὶ
Τωτίλᾳ ἀγχοτάτω ἐγένετο, ὡς τῷ δόρατι αὐτὸν κατὰ
τῶν νώτων παίσων ἐπῄει. Γοτθικὸν δέ τι μειράκιον
ἐκ τῆς Τωτίλα οἰκίας φεύγοντι τῷ δεσπότῃ ἑπόμενον
τύχην τε ἀπαξιοῦν τὴν τότε παροῦσαν ἀνέκραγε μέγα·
‛Τί τοῦτο, ὦ κύων, τὸν δεσπότην τὸν σαυτοῦ πλήξων
ὥρμηκας’; ὁ μὲν οὖν Ἄσβαδος ἐπὶ Τωτίλαν τὸ δόρυ
σθένει παντὶ ὦσεν, αὐτὸς δὲ πρὸς τοῦ Σκιπούαρ τὸν
πόδα πληγεὶς αὐτοῦ ἔμεινε. καὶ αὐτὸς δὲ Σκιπούαρ
πρός του τῶν διωκόντων πληγεὶς ἔστη, οἵ τε ξὺν
Ἀσβάδῳ πεποιημένοι τὴν δίωξιν τέτταρες ὄντες, ὅπως
αὐτὸν διασώσοιντο, οὐκέτι ἐδίωκον, ἀλλὰ ξὺν αὐτῷ
ὀπίσω ἀνέστρεφον. οἱ δὲ Τωτίλᾳ ἐπισπόμενοι διώ- 16
κειν σφᾶς ἔτι τοὺς πολεμίους οἰόμενοι οὐδέν τι ἧσσον
προσήλαυνον, καίπερ αὐτὸν καιρίαν πληγέντα καὶ λει-
ποψυχοῦντα ἐπαγόμενοι, πρυτανευούσης αὐτοῖς τῆς

ἀνάγκης τὸν βίαιον δρόμον. σταδίους δὲ ἀνύσαντες τέσσαράς τε καὶ ὀγδοήκοντα ἐς χωρίον ἀφίκοντο Κάπρας ὄνομα. οὗ δὴ τὸ λοιπὸν ἡσυχάζοντες Τωτίλα τὴν πληγὴν ἐθεράπευον, ὅσπερ οὐ πολλῷ ὕστερον τὸν βίον ἐξεμέτρησεν. ἐνταῦθά τε αὐτὸν οἱ ἐπισπόμενοι κρύψαντες τῇ γῇ ἀνεχώρησαν. αὕτη γέγονε Τωτίλᾳ τῆς τε ἀρχῆς καὶ τοῦ βίου καταστροφή, ἔτη ἕνδεκα Γότθων ἄρξαντι, οὐκ ἐπαξίως ἐπιγενομένη τῶν ἔμπροσθεν αὐτῷ πεπραγμένων, ἐπεὶ καὶ τὰ πράγματα πρότερον τῷ ἀνθρώπῳ ἐχώρησε καὶ τοῖς ἔργοις οὐ κατὰ λόγον ἡ τελευτὴ ἐπεγένετο.

VI. Gothi eorumque rex Teias sub monte Lactario fortissime pugnantes intereunt (a. 553. B. Goth. IV 34—35).

1 Τεΐας (οὐ γὰρ ἀξιομάχους τῷ Ῥωμαίων στρατῷ Γότθους κατὰ μόνας ᾤετο εἶναι) παρὰ Θευδίβαλδον τὸν Φράγγων ἄρχοντα ἔπεμψε χρήματα πολλὰ προτεινόμενος ἐπί τε ξυμμαχίαν παρακαλῶν. Ἀλλὰ Φράγγοι τὰ ξύμφορα, οἶμαι, βεβουλευμένοι οὔτε ὑπὲρ τῆς Γότθων οὔτε ὑπὲρ τῆς τῶν Ῥωμαίων ὠφελείας ἐβούλοντο θνήσκειν, ἀλλὰ σφίσιν αὐτοῖς προσποιεῖν Ἰταλίαν ἐν σπουδῇ εἶχον καὶ τούτου δὴ ἕνεκα τοὺς
2 ἐν πολέμῳ κινδύνους ὑφίστασθαι μόνοι. Ἐτύγχανε δὲ Τωτίλας ἔνια μὲν τῶν χρημάτων ἐν Τικίνῳ καταθέμενος, τὰ δὲ πλεῖστα ἐν φρουρίῳ ἐχυρῷ μάλιστα, ὅπερ ἐν Κύμῃ τῇ ἐπὶ Καμπανίας ξυμβαίνει εἶναι, καὶ φρουροὺς ἐνταῦθα καταστησάμενος ἄρχοντά τε αὐτοῖς τὸν ἀδελφὸν τὸν αὐτοῦ ξὺν Ἡρωδιανῷ ἐπιστήσας. Τούτους δὴ βουλόμενος ὁ Ναρσῆς ἐξελεῖν ἐς Κύμην τινὰς τοὺς τὸ φρούριον πολιορκήσοντας

*ἔπεμψεν, αὐτὸς δὲ Ῥώμην διακοσμῶν αὐτοῦ ἔμεινε.
καὶ ἄλλους στείλας ἐκέλευε Κεντουκέλλας πολιορκεῖν.
Τεΐας δὲ ἀμφὶ τοῖς ἐν Κύμῃ φρουροῖς τε καὶ χρή-* 3
*μασι δείσας ἀπογνούς τε τὴν ἀπὸ τῶν Φράγγων ἐλ-
πίδα, τούς οἱ ἑπομένους διέτασσεν ὡς τοῖς πολεμίοις
ὁμόσε χωρήσων. ὅνπερ αἰσθόμενος ὁ Ναρσῆς Ἰωάν-
νην τε τὸν Βιταλιανοῦ ἀδελφιδοῦν καὶ Φιλημοὺθ
ξὺν τῷ οἰκείῳ στρατεύματι ἐς τὰ ἐπὶ Τουσκίας χω-
ρία ἰέναι κελεύει, ἐνταῦθά τε καθιζομένους καὶ τοῖς
ἐναντίοις ἀναχαιτίζοντας τὴν ἐπὶ Καμπανίας ὁδόν,
ὅπως οἱ Κύμην πολιορκοῦντες ἀδεέστερον αὐτὴν ἢ βίᾳ
ἢ ὁμολογίᾳ ἐξελεῖν δύναιντο. ἀλλὰ Τεΐας ὁδοὺς ἐν* 4
*δεξιᾷ τὰς ἐπιτομωτάτας ἐπὶ τὸ πλεῖστον ἀφεὶς περιό-
δους τε πολλὰς καὶ μακροτάτας περιβαλλόμενος διά
τε τῆς παραλίας κόλπου τοῦ Ἰονίου ἰὼν ἐς Καμπανίαν
ἀφίκετο, τοὺς πολεμίους λαθὼν ἅπαντας. ὅπερ ἐπεὶ
Ναρσῆς ἔμαθε, τούς τε ἀμφὶ τὸν Ἰωάννην καὶ Φιλη-
μοὺθ μετεπέμπετο, οἳ τὴν δίοδον ἐν Τούσκοις ἐφρού-
ρουν, καὶ Βαλεριανὸν ἄρτι Πέτραν ἐξαιροῦντα τὴν
περτοῦσαν καλουμένην μετεκάλει ξὺν τοῖς ἑπομένοις
τάς τε δυνάμεις ξυνήγειρε παντί τε καὶ αὐτὸς τῷ
στρατῷ ὡς ἐς μάχην ξυντεταγμένος ἐς Καμπανοὺς ᾔει.*

Ἔστι δέ τι ὄρος ἐπὶ Καμπανίας ὁ Βέβιος, ὃς δὴ 5
*πολλάκις ἀφίησιν ἦχον μυκηθμῷ ἐμφερῆ. καὶ ἐπειδὰν
αὐτῷ τὸ τοιοῦτον ξυμβαίη, ὁ δὲ καὶ κόνεως ἐπὶ τούτῳ
ζεούσης τι χρῆμα μέγα ἐρεύγεται. ἐπὶ τούτου δὴ τοῦ
ὄρους, ᾗπερ καὶ τῆς κατὰ τὴν Σικελίαν Αἴτνης, κενὰ
τὰ ἐν μέσῳ ἐκ τῶν ἐσχάτων ἄχρι ἐς τὴν ὑπερβολὴν
ἀπὸ ταὐτομάτου τετύχηκεν εἶναι, οὗ δὴ ἔνερθεν δι-
ηνεκὲς τὸ πῦρ καίεται. ἐς τόσον δὲ βάθος τοῦτο δὴ
τὸ κενὸν διήκειν ξυμβαίνει, ὥστε δὴ ἀνθρώπῳ ἐν τῇ*

17 σοῦσθαι ἀπαξιοῦντες. ἐν ὑστάτῳ δὲ οἱ βάρβ
παρὰ τὸν Ναρσῆν πέμψαντες τῶν λογίμων τινὰς
μαθηκέναι μὲν ἔλεγον ὡς πρὸς τὸν θεὸν σφίσι
ἀγὼν γένοιτο· αἰσθάνεσθαι γὰρ τὴν ἀντιταχθεῖ
αὐτοῖς δύναμιν· καὶ τοῖς ξυμπεσοῦσι ξυμβάλλοντες
τῶν πραγμάτων ἀλήθειαν γνωσιμαχεῖν τὸ λοιπὸν β
λεσθαι καὶ ἀπολιπεῖν τὴν ἀγώνισιν, οὐ μέντοι βασ
ἐπακούσοντες, ἀλλὰ ξὺν τῶν ἄλλων βαρβάρων τ
αὐτόνομοι βιοτεύσοντες ἐδέοντό τε εἰρηναίαν σφ
τὴν ἀναχώρησιν ἐνδοῦναι Ῥωμαίους, οὐ φθονοῦν
αὐτοῖς λογισμοῦ σώφρονος, ἀλλὰ καὶ χρήμασι
αὐτῶν ὥσπερ ἐφοδίοις αὐτοὺς δωρουμένους, ὅσα
ἐν τοῖς ἐπὶ τῆς Ἰταλίας φρουρίοις αὐτῶν ἕκαστος
18 ἀποθέμενος ἔτυχε πρότερον. ταῦτα ὁ μὲν Ναρσῆς
βουλῇ ἐποιεῖτο. Ἰωάννης δὲ ὁ Βιταλιανοῦ παρῄ
δέησιν ἐνδέχεσθαι τήνδε, καὶ μὴ περαιτέρω θανα
σιν ἀνθρώποις διὰ μάχης ἰέναι, μηδὲ ἀποπειράσασ
τόλμης ἐν ἀπογνώσει φυομένης τοῦ βίου, ἣ καὶ τ
αὐτῇ ἐχομένοις καὶ τοῖς ὑπαντιάζουσι χαλεπὴ γίνε
ἀρκεῖ γάρ, ἔφη, τοῖς γε σώφροσι τὸ νικᾶν, τὸ
ὑπεράγαν ἐθέλειν ἴσως ἂν καὶ ἐς τὸ ἀξύμφορον τ
19 ποιτο. πείθεται τῇ ὑποθήκῃ Ναρσῆς, καὶ ξυνέβησ
ἐφ' ᾧ τῶν βαρβάρων οἱ ἀπολελειμμένοι χρήματα κε
μισμένοι τὰ αὐτῶν ἴδια ἐκ πάσης ἀπαλλάξονται Ἰτ
λίας εὐθύς, πόλεμόν τε μηχανῇ οὐδεμιᾷ πρὸς Ῥωμαίο
διοίσουσιν ἔτι. Γότθοι μὲν οὖν μεταξὺ χίλιοι τ
στρατοπέδου ἐξαναστάντες ἐς Τίκινόν τε πόλιν κ
χωρία τὰ ὑπὲρ ποταμὸν Πάδον ἐχώρησαν, ὧν ἄλλ
τε ἡγοῦντο καὶ Ἰνδούλφ. οἱ δὲ λοιποὶ ἅπαντες ὅρκ
δόντες τὰ ξυγκείμενα πάντα ἐπέρρωσαν. οὕτω τε κ
Κύμην καὶ τὰ λοιπὰ πάντα ἐξεῖλον Ῥωμαῖοι, καὶ τ

ὀκτωκαιδέκατον ἔτος ξυνετελεύτα τῷ Γοτθικῷ πολέμῳ τῷδε, ὃν Προκόπιος ξυνέγραψεν.

PRISCVS

Panii in oppido Thraciae prope Perinthum sito natus videtur Constantinopoli artem dicendi medio fere V. p. Chr. n. saeculo docuisse. historiae eius Byzantiae, quae pertinuisse putatur fere ab a. 433 usque ad a. 474, exstant fragmenta in excerptis Constantini de legationibus.

VII. Attila legatos Byzantios, quorum Maximinus princeps erat, in itinere ad Danuvium offensos superbissime tractat.

(Prisci fragmentum VIII. — Dindorf, Hist. Graeci min. I 289 sqq.)

A. 448 Edeco ab Attila Constantinopolim missus de Hunnorum (Scytharum) transfugis, quos ibi retineri putabat, et magna pecunia a Chrysaphio, imperatoris (βασιλέως) Theodosii II. familiarissimo, ut Attilam de medio tolleret, impulsus, cum Maximino, Prisco, Vigila interprete, qui mandatu imperatoris cum Attila de transfugis agerent, reversus illud consilium, cuius legatorum Vigila solus erat conscius, detexit.

Περαιωθέντες τὸν Ἴστρον καὶ σὺν τοῖς βαρβάροις 1
ὡς ἑβδομήκοντα πορευθέντες σταδίους ἐν πεδίῳ τινὶ
ἐπιμένειν ἠναγκάσθημεν, ὥστε τοὺς ἀμφὶ τὸν Ἐδέκωνα
τῷ Ἀττήλᾳ γενέσθαι τῆς ἡμετέρας ἀφίξεως μηνυτάς.
καταμεινάντων δὲ σὺν ἡμῖν καὶ τῶν ξεναγησάντων
ἡμᾶς βαρβάρων, ἀμφὶ δείλην ὀψίαν δεῖπνον ἡμῶν
αἱρουμένων κρότος ἵππων ὡς ἡμᾶς ἐρχομένων ἠκούετο.
καὶ δὴ ἄνδρες δύο Σκύθαι παρεγίνοντο ὡς τὸν Ἀττήλαν ἡμᾶς ἀπιέναι παρακελευόμενοι. ἡμῶν δὲ πρότερον 2
ἐπὶ τὸ δεῖπνον αὐτοὺς ἐλθεῖν αἰτησάντων ἀποβάντες
τῶν ἵππων εὐωχήθησαν καὶ ἡμῖν τῆς ὁδοῦ τῇ ὑστεραίᾳ ἡγήσαντο. παραγενομένων δὲ ἐς τὰς Ἀττήλα
σκηνὰς ἀμφὶ ἐνάτῃ τῆς ἡμέρας ὥρᾳ (πολλαὶ δὲ αὐτῷ
ἐτύγχανον οὖσαι) ἐπί τε λόφου τινὸς σκηνοποιῆσαι

βουληθέντων οἱ ἐπιτυχόντες διεκώλυσαν βάρβαροι, ὡ
τῆς Ἀττήλα ἐν χθαμαλῷ ὑπαρχούσης σκηνῆς. κατα-
λυσάντων δὲ ὅπου τοῖς Σκύθαις ἐδόκει, Ἐδέκων κα
Ὀρέστης καὶ Σκόττας καὶ ἕτεροι τῶν ἐν αὐτοῖς λογά-
δων ἧκον ἀνερωτῶντες, τίνων τυχεῖν ἐσπουδακότε
3 τὴν πρεσβείαν ποιούμεθα. ἡμῶν δὲ τὴν ἄλογον ἀπο-
θαυμαζόντων ἐρώτησιν καὶ ἐς ἀλλήλους ὁρώντων δι-
ετέλουν πρὸς ὄχλον τῆς ἀποκρίσεως ἕνεκα γινόμενο
εἰπόντων δὲ Ἀττήλᾳ καὶ οὐχ ἑτέροις λέγειν βασιλέ
παρακελεύσασθαι, χαλεπήνας ὁ Σκόττας ἀπεκρίνατ
τοῦ σφῶν αὐτῶν ἡγουμένου ἐπίταγμα εἶναι. φησάν-
σων δὲ μὴ τοῦτον ἐπὶ τοῖς πρέσβεσι κεῖσθαι τὸν νό-
μον, ὥστε δι᾽ ἑτέρων ἀνακρίνεσθαι, ὧν ἕνεκα πρε-
σβεύοιντο, καὶ τοῦτο μηδὲ αὐτοὺς ἀγνοεῖν Σκύθα
θαμινὰ παρὰ βασιλέα πρεσβευομένους, χρῆναι δὲ ἡμᾶ
τῶν ἴσων κυρεῖν, μὴ γὰρ ἄλλως τὰ τῆς πρεσβεία
ἐρεῖν — ὡς τὸν Ἀττήλαν ἀνέζευξαν καὶ αὖθις ἐπανῆ-
κον Ἐδέκωνος χωρίς (κατεμήνυσε δὲ τὴν μελετηθεῖσα
τῷ Ἀττήλᾳ ἐπιβουλὴν καὶ ἐφ᾽ οἷς τὴν πρεσβείαν ἐποι-
ούμεθα) καὶ ἅπαντα, περὶ ὧν ἐπρεσβευόμεθα, ἔλεγο
προστάττοντες τὴν ταχίστην ἀπιέναι, εἰ μὴ ἕτερα φρά-
4 ζειν ἔχοιμεν. ἐπὶ δὲ τοῖς λεχθεῖσι πλέον ἔτι ἀποροῦν-
τες (οὐ γὰρ ἦν ἐφικτὸν γινώσκειν, ὅπως ἔκδηλα ἐγε-
γόνει τὰ ἐν παραβύστῳ δεδογμένα βασιλεῖ) συμφέρει
ἡγούμεθα μηδὲν περὶ τῆς πρεσβείας ἀποκρίνεσθαι, ε
μὴ τῆς παρὰ τὸν Ἀττήλαν ἐσόδου τύχοιμεν. οἱ δὲ
ἡμᾶς παραχρῆμα ἀναχωρεῖν προσέταττον. τῶν δὲ φορ-
τίων ἤδη τοῖς ὑποζυγίοις ἐπιτεθέντων καὶ ἀνάγκῃ τὴν
πορείαν κατὰ τὸν τῆς νυκτὸς καιρὸν ποιεῖσθαι πειρώ-
μενοι, μετεξέτεροι τῶν βαρβάρων παραγενόμενοι ἐπι-
μεῖναι ἡμᾶς τοῦ καιροῦ χάριν παρακελεύσασθαι τὸν

ἐπιδείξεσιν ἢ σωμάτων θέαις ἡδονῆς κέντρον ἐναφιέντων μὴ διὰ τῶν ὤτων διεφθαρμένην μελῳδίαν τῶν ψυχῶν καταχεῖν. ἀνελευθερίας γὰρ δὴ καὶ ταπεινότητος ἔκγονα πάθη ἐκ τοῦ τοιοῦδε τῆς μουσικῆς εἴδους ἐγγίνεσθαι πέφυκεν. ἀλλὰ τὴν ἑτέραν μεταδιωκτέον ἡμῖν τὴν ἀμείνω τε καὶ εἰς ἄμεινον φέρουσαν. λέγεται δὲ καὶ Πυθαγόραν κωμασταῖς περιτυχόντα 36 μεθύουσι κελεῦσαι τὸν αὐλητὴν τὸν τοῦ κώμου κατάρχοντα, μεταβαλόντα τὴν ἁρμονίαν, ἐπαυλῆσαί σφισι τὸ Δώριον· τοὺς δὲ οὕτως ἀναφρονῆσαι ὑπὸ τοῦ μέλους, ὥστε τοὺς στεφάνους ῥίψαντας αἰσχυνομένους ἐπανελθεῖν. ἕτεροι δὲ πρὸς αὐλὸν κορυβαντιῶσι καὶ ἐκβακχεύονται. τοσοῦτόν ἐστι τὸ διάφορον ὑγιοῦς ἢ μοχθηρᾶς μελῳδίας ἀναπλησθῆναι. ὥστε τῆς 37 νῦν δὴ κρατούσης ταύτης ἧττον ὑμῖν μεθεκτέον ἢ οὑτινοσοῦν τῶν αἰσχίστων. ἀτμοὺς γε μὴν παντοδαποὺς ἡδονὴν ὀσφρήσει φέροντας τῷ ἀέρι καταμιγνύναι ἢ μύροις ἑαυτοὺς ἀναχρώννυσθαι καὶ ἀπαγορεύειν αἰσχύνομαι. τί δ' ἄν τις εἴποι περὶ τοῦ μὴ χρῆναι τὰς ἐν ἁφῇ καὶ γεύσει διώκειν ἡδονάς, ἢ ὅτι καταναγκάζουσιν αὗται τοὺς περὶ τὴν ἑαυτῶν θήραν ἐσχολακότας, ὥσπερ τὰ θρέμματα, πρὸς τὴν γαστέρα καὶ τὰ ὑπ' αὐτὴν συννενευκότας ζῆν;

Ἑνὶ δὲ λόγῳ πάντως ὑπεροπτέον τοῦ σώματος τῷ 38 μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ κατορωρύχθαι μέλλοντι, ἢ τοσοῦτον ἀνθεκτέον αὐτοῦ, ὅσον, φησὶ de re. VI 498 B. Πλάτων, ὑπηρεσίαν φιλοσοφίᾳ κτωμένους, ἐοικότα που λέγων τῷ Παύλῳ, ὃς παραινεῖ μηδεμίαν χρῆναι τοῦ Rom. 13, 14 σώματος πρόνοιαν ἔχειν εἰς ἐπιθυμιῶν ἀφορμήν. ἢ τί διαφέρουσιν οἱ τοῦ μὲν σώματος, ὡς ἂν κάλλιστα ἔχοι, φροντίζουσι, τὴν δὲ χρησομένην αὐτῷ ψυχὴν ὡς

8 ἅπερ αὐτῷ βούλοιντο. καὶ ἐπὶ τὸν Βιγίλαν εὐθὺς τ
πει τὸν λόγον, θηρίον ἀναιδὲς ἀποκαλῶν, ὅτου χά
παρ' αὐτὸν ἐλθεῖν ἠθέλησεν ἐπιστάμενος τά τε αὐ
καὶ Ἀνατολίῳ ἐπὶ τῇ εἰρήνῃ δόξαντα, ὡς εἴρητο
πρότερον πρέσβεις παρ' αὐτὸν ἐλθεῖν, πρὶν ἢ πάν
9 οἱ φυγάδες ἐκδοθεῖεν βαρβάροις. τοῦ δὲ φήσαντ
ὡς ἐκ Σκυθικοῦ γένους παρὰ Ῥωμαίοις οὐκ εἴη φυγ
τοὺς γὰρ ὄντας ἐκδεδόσθαι, χαλεπήνας μᾶλλον
αὐτῷ πλεῖστα λοιδορησάμενος μετὰ βοῆς ἔλεγεν,
αὐτὸν ἀνασκολοπίσας πρὸς βορὰν οἰωνοῖς ἐδεδώκει
εἰ μή γε τῷ τῆς πρεσβείας θεσμῷ λυμαίνεσθαι ἐδό
τῷ ταύτην αὐτῷ ἐπὶ τῇ ἀναιδείᾳ καὶ τῇ τῶν λόγ
ἰταμότητι ἐπιθεῖναι δίκην· φυγάδας γὰρ τοῦ σφετέρ
ἔθνους παρὰ Ῥωμαίοις εἶναι πολλούς, ὧν ἐκέλευε
ὀνόματα ἐγγεγραμμένα χάρτῃ τοὺς ὑπογραφέας ἀνα
νώσκειν. ὡς δὲ διεξῆλθον ἅπαντας, προσέταττε μηδ
μελλήσαντα Βιγίλαν ἀπιέναι, ἀπαγγείλαντα δὲ
αὐτῷ περὶ τῶν φυγάδων δεδογμένα αὖθις ἐπανήκε
μηνύοντα, πότερον αὐτοὺς ἐκδιδόναι βούλονται ἢ τ
10 ὑπὲρ αὐτῶν ἀναδέχονται πόλεμον. ἡμᾶς δὲ ἐκέλευ
προφάσει ἀποκρίσεως ἐπὶ τῇ πρεσβείᾳ δοθησομέν
Ὀνηγήσιον ἀπεκδέξασθαι τὰ δῶρα κομιούμενον, ἅπ
ἡμεῖς τε διδόναι ἐβουλόμεθα καὶ βασιλεὺς ἀπεστάλκ
διὸ δὴ ἡμᾶς ἐπιμεῖναι παρακελευσάμενος τὸν Βιγίλ
διαφῆκε προφάσει μὲν τῶν φυγάδων ἐς τὴν Ῥωμαί
διαβησόμενον, τῇ δὲ ἀληθείᾳ τῷ Ἐδέκωνι τὸ χρυσί
κομιοῦντα, ὃ τούτῳ ἀποδώσειν Χρυσάφιος ὑπέσχε
τὸν Ἀττήλαν ἀνελόντι.

ἐπιδείξεσιν ἢ σωμάτων θέαις ἡδονῆς κέντρον ἐναφιέντων μὴ διὰ τῶν ὤτων διεφθαρμένην μελῳδίαν τῶν ψυχῶν καταχεῖν. ἀνελευθερίας γὰρ δὴ καὶ ταπεινότητος ἔκγονα πάθη ἐκ τοῦ τοιοῦδε τῆς μουσικῆς εἴδους ἐγγίνεσθαι πέφυκεν. ἀλλὰ τὴν ἑτέραν μεταδιωκτέον ἡμῖν τὴν ἀμείνω τε καὶ εἰς ἄμεινον φέρουσαν. λέγεται δὲ καὶ Πυθαγόραν κωμασταῖς περι- 36
τυχόντα μεθύουσι κελεῦσαι τὸν αὐλητὴν τὸν τοῦ κώμου κατάρχοντα, μεταβαλόντα τὴν ἁρμονίαν, ἐπαυλῆσαί σφισι τὸ Δώριον· τοὺς δὲ οὕτως ἀναφρονῆσαι ὑπὸ τοῦ μέλους, ὥστε τοὺς στεφάνους ῥίψαντας αἰσχυνομένους ἐπανελθεῖν. ἕτεροι δὲ πρὸς αὐλὸν κορυβαντιῶσι καὶ ἐκβακχεύονται. τοσοῦτόν ἐστι τὸ διάφορον ὑγιοῦς ἢ μοχθηρᾶς μελῳδίας ἀναπλησθῆναι. ὥστε τῆς 37
νῦν δὴ κρατούσης ταύτης ἧττον ὑμῖν μεθεκτέον ἢ οὑτινοσοῦν τῶν αἰσχίστων. ἀτμούς γε μὴν παντοδαποὺς ἡδονὴν ὀσφρήσει φέροντας τῷ ἀέρι καταμιγνύναι ἢ μύροις ἑαυτοὺς ἀναχρώννυσθαι καὶ ἀπαγορεύειν αἰσχύνομαι. τί δ᾽ ἄν τις εἴποι περὶ τοῦ μὴ χρῆναι τὰς ἐν ἁφῇ καὶ γεύσει διώκειν ἡδονάς, ἢ ὅτι καταναγκάζουσιν αὗται τοὺς περὶ τὴν ἑαυτῶν θήραν ἐσχολακότας, ὥσπερ τὰ θρέμματα, πρὸς τὴν γαστέρα καὶ τὰ ὑπ᾽ αὐτὴν συννενευκότας ζῆν;

Ἑνὶ δὲ λόγῳ πάντως ὑπεροπτέον τοῦ σώματος τῷ 38
μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ κατορωρύχθαι μέλλοντι, ἢ τοσοῦτον ἀνθεκτέον αὐτοῦ, ὅσον, φησὶ de re. VI 498 B.
Πλάτων, ὑπηρεσίαν φιλοσοφίᾳ κτωμένους, ἐοικότα που λέγων τῷ Παύλῳ, ὃς παραινεῖ μηδεμίαν χρῆναι τοῦ Rom. 13, 14
σώματος πρόνοιαν ἔχειν εἰς ἐπιθυμιῶν ἀφορμήν. ἢ τί διαφέρουσιν οἱ τοῦ μὲν σώματος, ὡς ἂν κάλλιστα ἔχοι, φροντίζουσι, τὴν δὲ χρησομένην αὐτῷ ψυχὴν ὡς

ἄλλων πλὴν τοῦ καθαρὰ εἶναι διαφυλάττουσα· καὶ
οὔτε τὸ παρηωρημένον αὐτῷ ξίφος οὔτε οἱ τῶν βαρ-
βαρικῶν ὑποδημάτων δεσμοὶ οὔτε τοῦ ἵππου ὁ χαλι-
νός, ὥσπερ τῶν ἄλλων Σκυθῶν, χρυσῷ ἢ λίθοις ἤ
6 τινι τῶν τιμίων ἐκοσμεῖτο. τῶν δὲ ὄψων τῶν ἐν τοῖς
πρώτοις πίναξιν ἐπιτεθέντων ἀναλωθέντων πάντες δι-
ανέστημεν, καὶ οὐ πρότερον ἐπὶ τὸν δίφρον ἀναστὰς
ἦλθε, πρὶν ἢ κατὰ τὴν προτέραν τάξιν ἕκαστος τὴν
ἐπιδιδομένην αὐτῷ οἴνου πλήρη ἐξέπιε κύλικα τὸν
Ἀττήλαν σῶν εἶναι ἐπευξάμενος. καὶ τοῦτον τιμηθέν-
τος αὐτοῦ τὸν τρόπον ἐκαθέσθημεν, καὶ δεύτερος
ἑκάστῃ τραπέζῃ ἐπετίθετο πίναξ ἕτερα ἔχων ἐδώδιμα.
ὡς δὲ καὶ αὐτοῦ οἱ πάντες μετέλαβον, καὶ τῷ αὐτῷ
7 ἐξαναστάντες τρόπῳ αὖθις ἐκπιόντες ἐκαθέσθημεν. ἐπι-
γενομένης δὲ ἑσπέρας δᾷδες ἀνήφθησαν, δύο δὲ ἀντι-
κρὺ τοῦ Ἀττήλα παρελθόντες βάρβαροι ᾄσματα πεποιη-
μένα ἔλεγον νίκας αὐτοῦ καὶ τὰς κατὰ πόλεμον ᾄδοντες
ἀρετάς· ἐς οὓς οἱ τῆς εὐωχίας ἀπέβλεπον, καὶ οἱ μὲν
ἥδοντο τοῖς ποιήμασιν, οἱ δὲ τῶν πολέμων ἀναμιμνη-
σκόμενοι διηγείροντο τοῖς φρονήμασιν, ἄλλοι δὲ ἐχώ-
ρουν ἐς δάκρυα, ὧν ὑπὸ τοῦ χρόνου ἠσθένει τὸ σῶμα
καὶ ἡσυχάζειν ὁ θυμὸς ἠναγκάζετο.

8 Μετὰ δὲ τὰ ᾄσματα Σκύθης τις παρελθὼν φρενο-
βλαβής, ἀλλόκοτα καὶ παράσημα καὶ οὐδὲν ὑγιὲς φθεγ-
γόμενος, ἐς γέλωτα πάντας παρεσκεύασε παρελθεῖν.
μεθ' ὃν ὑπεσῆλθε Ζέρκων ὁ Μαυρούσιος· ὁ γὰρ Ἐδέ-
κων αὐτὸν παρὰ τὸν Ἀττήλαν ἐλθεῖν παρέπεισεν ὡς
τῇ ἐκείνου σπουδῇ τὴν γαμετὴν ἀποληψόμενον, ἣν κατὰ
τὴν τῶν βαρβάρων εἰλήφει χώραν τῷ Βλήδᾳ περισπού-
δαστος ὤν. ἀπελελοίπει δὲ αὐτὴν ἐν τῇ Σκυθικῇ παρὰ
9 τοῦ Ἀττήλα δῶρον Ἀετίῳ πεμφθείς. ἀλλὰ τῆς μὲν τοι-

αὐτῆς διήμαρτεν ἐλπίδος τοῦ Ἀττήλα χαλεπήναντος, ὅτι γε δὴ ἐς τὴν αὐτοῦ ἐπανῆλθε. τότε δὲ διὰ τὸν τῆς εὐωχίας καιρὸν παρελθὼν τῷ τε εἴδει καὶ τοῖς ἐσθήμασι καὶ τῇ φωνῇ καὶ τοῖς συγκεχυμένως παρ' αὐτοῦ προφερομένοις ῥήμασι· τῇ γὰρ Αὐσονίων τὴν τῶν Οὔννων καὶ τὴν τῶν Γότθων παραμιγνὺς γλῶτταν πάντας διέχεε καὶ ἐς ἄσβεστον ὁρμῆσαι γέλωτα παρεσκεύασε πλὴν Ἀττήλα· οὗτος γὰρ ἔμενεν ἀστεμφὴς καὶ τὸ εἶδος ἀμετάτρεπτος καὶ οὐδὲν οὔτε λέγων οὔτε ποιῶν γέλωτος ἐχόμενον ἐφαίνετο, πλὴν ὅτι τὸν νεώτατον τῶν παίδων, Ἠρνᾶς δὲ ὄνομα τούτῳ, ἐσιόντα καὶ παρεστῶτα εἷλκε τῆς παρειᾶς γαληνοῖς ἀποβλέπων ὄμμασι πρὸς αὐτόν. ἐμοῦ δὲ θαυμάζοντος, ὅπως τῶν 10 μὲν ἄλλων παίδων ὀλιγωροίη, πρὸς δὲ ἐκεῖνον ἔχοι τὸν νοῦν, ὁ παρακαθήμενος βάρβαρος συνιεὶς τῆς Αὐσονίων φωνῆς καὶ τῶν παρ' αὐτοῦ μοι ῥηθησομένων μηδὲν ἐκλέγειν προειπὼν ἔφασκε τοὺς μάντεις τῷ Ἀττήλᾳ προηγορευκέναι τὸ μὲν αὐτοῦ πεσεῖσθαι γένος, ὑπὸ δὲ τοῦ παιδὸς ἀναστήσεσθαι τούτου. ὡς δὲ ἐν τῷ συμποσίῳ εἷλκον τὴν νύκτα, ὑπεξήλθομεν ἐπὶ πολὺ μὴ βουληθέντες τῷ πότῳ προσκαρτερεῖν. — ἡμερῶν διαγενομένων πέντε τῷ Ὀνηγησίῳ εἰπόντες χρῆναι ἡμᾶς μὴ τηνάλλως τρίβειν τὸν χρόνον, τῶν βασιλεῖ ἀποδοθησομένων γραμμάτων συνταχθέντων, διαφείθημεν δώροις τοῖς προσήκουσι τιμηθέντες.

25 Ἐπαναγάγωμεν δὲ τὸν λόγον αὖθις πρὸς τὰ τῶ σπουδαίων πράξεων παραδείγματα. ἔτυπτέ τις τὸ Σωφρονίσκου Σωκράτην εἰς αὐτὸ τὸ πρόσωπον ἐμπε σὼν ἀφειδῶς· ὁ δὲ οὐκ ἀντῆρεν ἀλλὰ παρεῖχε τ παροινοῦντι τῆς ὀργῆς ἐμφορεῖσθαι, ὥστε ἐξοιδεῖ ἤδη καὶ ὕπουλον αὐτῷ τὸ πρόσωπον ὑπὸ τῶν πληγῶ εἶναι. ὡς δ' οὖν ἐπαύσατο τύπτων, ἄλλο μὲν οὐδὲ ὁ Σωκράτης ποιῆσαι, ἐπιγράψαι δὲ τῷ μετώπῳ λέγ ται, ὥσπερ ἀνδριάντι τὸν δημιουργόν, ὁ δεῖνα ἐποίει καὶ τοσοῦτον ἀμύνασθαι.

26 Ταῦτα σχεδὸν εἰς ταὐτὸν τοῖς ἡμετέροις φέροντ πολλοῦ ἄξιον εἶναι μιμήσασθαι τοὺς τηλικούτους φημ τουτὶ μὲν γὰρ τὸ τοῦ Σωκράτους ἀδελφὸν ἐκείνῳ τ παραγγέλματι, ὅτι τῷ τύπτοντι κατὰ τῆς σιαγόνος κα τὴν ἑτέραν παρέχειν προσῆκε, τοσούτου δεῖν ἀπαμυ νασθαι. τὸ δὲ τοῦ Περικλέους ἢ τὸ Εὐκλείδου, τ τοὺς διώκοντας ὑπομένειν καὶ πρᾴως αὐτῶν τῆς ὀργῆ ἀνέχεσθαι· καὶ τῷ τοῖς ἐχθροῖς εὔχεσθαι τὰ ἀγαθ ἀλλὰ μὴ ἐπαρᾶσθαι. ὡς ὅ γε ἐν τούτοις προπαιδευ θεὶς οὐκ ἔτ' ἂν ἐκείνοις ὡς ἀδυνάτοις διαπιστήσειε
27 οὐκ ἂν παρέλθοιμι τὸ τοῦ Ἀλεξάνδρου, ὃς τὰς θυγα τέρας Δαρείου αἰχμαλώτους λαβών, θαυμαστόν τι οἷο τὸ κάλλος παρέχειν μαρτυρουμένας, οὐδὲ προσιδεῖ ἠξίωσεν, αἰσχρὸν εἶναι κρίνων τὸν ἄνδρας ἑλόντ γυναικῶν ἡττηθῆναι. τουτὶ γὰρ εἰς ταὐτὸν ἐκείν φέρει, ὅτι ὁ ἐμβλέψας πρὸς ἡδονὴν γυναικί, κἂν μ τῷ ἔργῳ τὴν μοιχείαν ἐπιτελέσῃ, ἀλλὰ τῷ γε τὴν ἐπι θυμίαν τῇ ψυχῇ παραδέξασθαι οὐκ ἀφίεται τοῦ ἐγκλή
28 ματος. τὸ δὲ τοῦ Κλεινίου, τῶν Πυθαγόρου γνωρι μων ἑνός, χαλεπὸν πιστεῦσαι ἀπὸ ταὐτομάτου συμβῆνα τοῖς ἡμετέροις, ἀλλ' οὐχὶ μιμησαμένου σπουδῇ. τί δ

*σθαι, οὐ μᾶλλον εἰς ἀργυρίου προσθήκην, ἢ καὶ εἰς
ἡντιναοῦν ἐπιστήμην ὀρθῶς ἔχειν ἡγεῖσθαι τῷ ποιητῇ
προσῆκεν. ὁ μὲν οὖν Βίας τῷ υἱεῖ πρὸς Αἰγυπτίους* 49
*ἀπαίροντι καὶ πυνθανομένῳ, τί ἂν ποιῶν αὐτῷ μάλιστα
κεχαρισμένα πράττοι, ‘ἐφόδιον’, ἔφη, ‘πρὸς γῆρας κτησά-
μενος’· τὴν ἀρετὴν δὴ τὸ ἐφόδιον λέγων μικροῖς ὅροις
αὐτὴν περιγράφων, ὅς γε ἀνθρωπίνῳ βίῳ τὴν ἀπ’
αὐτῆς ὠφέλειαν ὡρίζετο. ἐγὼ δὲ κἂν τὸ Τιθωνοῦ* 50
*τις γῆρας, κἂν τὸ Ἀργανθωνίου λέγῃ, κἂν σύμπαντα
τὸν ἀφ’ οὗ γεγόνασιν ἄνθρωποι χρόνον ἀναμετρῇ, ὡς
ἐπὶ παίδων διανοίας γελάσομαι, εἰς τὸν μακρὸν ἀπο-
σκοπῶν καὶ ἀγήρω αἰῶνα, οὗ πέρας οὐδέν ἐστι τῇ
ἐπινοίᾳ λαβεῖν, οὐ μᾶλλόν γε ἢ τελευτὴν ὑποθέσθαι
τῆς ἀθανάτου ψυχῆς. πρὸς ὅνπερ κτᾶσθαι παραινέ-
σαιμ’ ἂν τὰ ἐφόδια πάντα λίθον, κατὰ τὴν παροιμίαν,
κινοῦντας, ὅθεν ἂν μέλλῃ τις ὑμῖν ἐπ’ αὐτὸν ὠφέλεια
γενήσεσθαι. μηδ’ ὅτι χαλεπὰ ταῦτα καὶ πόνου δεό-* 51
*μενα, διὰ τοῦτ’ ἀποκνήσωμεν, ἀλλ’ ἀναμνησθέντας τοῦ
παραινέσαντος, ὅτι δέοι βίον μὲν ἄριστον αὐτὸν ἕκα-
στον προαιρεῖσθαι, ἡδὺν δὲ προσδοκᾶν τῇ συνηθείᾳ
γενήσεσθαι, ἐγχειρεῖν τοῖς βελτίστοις. αἰσχρὸν γὰρ
τὸν παρόντα καιρὸν προεμένους ὕστερόν ποτ’ ἀνακα-
λεῖσθαι τὸ παρελθόν, ὅτε οὐδὲν ἔσται πλέον ἀνιω-
μένοις.*

Ἐγὼ μὲν οὖν ἃ κράτιστα εἶναι κρίνω, τὰ μὲν νῦν 52
*εἴρηκα, τὰ δὲ παρὰ πάντα τὸν βίον ὑμῖν ξυμβου-
λεύσω· ὑμεῖς δὲ τριῶν ἀρρωστημάτων μὴ τῷ ἀνιάτῳ
προσεοικέναι δόξητε μηδὲ τὴν τῆς γνώμης νόσον παρα-
πλησίαν τῇ τῶν εἰς τὰ σώματα δυστυχησάντων δεί-
ξητε. οἱ μὲν γὰρ τὰ μικρὰ τῶν παθῶν κάμνοντες
αὐτοὶ παρὰ τοὺς ἰατροὺς ἔρχονται, οἱ δὲ ὑπὸ μειζό-*

οὐδενὸς ἀξίαν περιορῶσι, τῶν περὶ τὰ ὄργανα σπου-
δαζόντων, τῆς δὲ δι' αὐτῶν ἐνεργούσης τέχνης κατα-
39 μελούντων; πᾶν μὲν οὖν τοὐναντίον κολάζειν αὐτὸ
καὶ κατέχειν ὥσπερ θηρίου τὰς ὁρμὰς προσῆκε, καὶ
τοὺς ἀπ' αὐτοῦ θορύβους ἐγγινομένους τῇ ψυχῇ οἱονεὶ
μάστιγι τῷ λογισμῷ καθικνουμένους κοιμίζειν, ἀλλὰ
μὴ πάντα χαλινὸν ἡδονῆς ἀνέντας περιορᾶν τὸν νοῦν
ὥσπερ ἡνίοχον ὑπὸ δυσηνίων ἵππων ὕβρει φερομένων
40 παρασυρόμενον ἄγεσθαι· καὶ τοῦ Πυθαγόρου μεμνῆ-
σθαι, ὃς τῶν συνόντων τινὰ καταμαθὼν γυμνασίοις
τε καὶ σιτίοις ἑαυτὸν εὖ μάλα κατασαρκοῦντα· 'Οὗτος,'
ἔφη, 'οὐ παύσῃ χαλεπώτερον σεαυτῷ κατασκευάζων τὸ
δεσμωτήριον;' διὸ δὴ καὶ Πλάτωνά φασι τὴν ἐκ σώ-
ματος βλάβην προειδόμενον τὸ νοσῶδες χωρίον τῆς
Ἀττικῆς τὴν Ἀκαδημίαν καταλαβεῖν ἐξεπίτηδες, ἵνα
τὴν ἄγαν εὐπάθειαν τοῦ σώματος οἷον ἀμπέλου τὴν
εἰς τὰ περιττὰ φορὰν περικόπτοι. ἐγὼ δὲ καὶ σφαλερὸν
εἶναι τὴν ἐπ' ἄκρον εὐεξίαν ἰατρῶν ἤκουσα.
41 Ὅτε τοίνυν ἡ ἄγαν αὕτη τοῦ σώματος ἐπιμέλεια
αὐτῷ τε ἀλυσιτελὴς τῷ σώματι καὶ πρὸς τὴν ψυχὴν
ἐμπόδιόν ἐστι, τό γε ὑποπεπτωκέναι τούτῳ καὶ θερα-
πεύειν μανία σαφής. ἀλλὰ μὴν εἰ τούτου γε ὑπερ-
ορᾶν μελετήσαιμεν, σχολῇ γ' ἂν ἄλλο τι τῶν ἀνθρω-
πίνων θαυμάσαιμεν. τί γὰρ ἔτι χρησόμεθα πλούτῳ
τὰς διὰ τοῦ σώματος ἡδονὰς ἀτιμάζοντες; ἐγὼ μὲν
οὐχ ὁρῶ, πλὴν εἰ μὴ κατὰ τοὺς ἐν τοῖς μύθοις δρά-
κοντας ἡδονήν τινα φέροι θησαυροῖς κατορωρυγμένοις
42 ἐπαγρυπνεῖν. ὅ γε μὴν ἐλευθερίως πρὸς τὰ τοιαῦτα
διακεῖσθαι πεπαιδευμένος πολλοῦ ἂν δέοι ταπεινόν τι
καὶ αἰσχρὸν ἔργῳ ἢ λόγῳ ποτὲ προελέσθαι. τὸ γὰρ
τῆς χρείας περιττότερον, κἂν Λύδιον ᾖ ψῆγμα κἂν

τῶν μυρμήκων ἔργον τῶν χρυσοφόρων, τοσούτῳ πλέον
ἀτιμάσει, ὅσῳπερ ἂν ἧττον προσδέηται· αὐτὴν δὲ δή-
που τὴν χρείαν τοῖς τῆς φύσεως ἀναγκαίοις, ἀλλ' οὐ
ταῖς ἡδοναῖς ὁριεῖται. ὡς οἵ γε τῶν ἀναγκαίων ὅρων 43
ἔξω γενόμενοι παραπλησίως τοῖς κατὰ τοῦ πρανοῦς
φερομένοις πρὸς οὐδὲν στάσιμον ἔχοντες ἀποβῆναι
οὐδαμοῦ τῆς εἰς τὸ πρόσω φορᾶς ἵστανται· ἀλλ' ὅσῳ-
περ ἂν πλείω προσπεριβάλωνται, τοῦ ἴσου δέονται ἢ
καὶ πλείονος πρὸς τὴν τῆς ἐπιθυμίας ἐκπλήρωσιν, κατὰ
τὸν Ἐξηκεστίδου Σόλωνα, ὅς φησι· fr. 13, 71

Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται.

τῷ δὲ Θεόγνιδι πρὸς ταῦτα διδασκάλῳ χρηστέον, λέ-
γοντι·

Οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη 1155
Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Ἐγὼ δὲ καὶ Διογένους ἄγαμαι τὴν πάντων ὁμοῦ 44
τῶν ἀνθρωπίνων ὑπεροψίαν, ὅς γε καὶ βασιλέως τοῦ
μεγάλου ἑαυτὸν ἀπέφηνε πλουσιώτερον τῷ ἐλαττόνων
ἢ ἐκεῖνος κατὰ τὸν βίον προσδεῖσθαι. ἡμῖν δὲ ἄρα
εἰ μὴ τὰ Πυθίου τοῦ Μυσοῦ προσείη τάλαντα καὶ
πλέθρα γῆς τόσα καὶ τόσα καὶ βοσκημάτων ἑσμοὶ
πλείους ἢ ἀριθμῆσαι, οὐδὲν ἐξαρκέσει. ἀλλ', οἶμαι,
προσήκει ἀπόντα τε μὴ ποθεῖν τὸν πλοῦτον καὶ παρ-
όντος μὴ τῷ κεκτῆσθαι μᾶλλον φρονεῖν ἢ τῷ εἰδέναι
αὐτὸν εὖ διατίθεσθαι. τὸ γὰρ τοῦ Σωκράτους εὖ 45
ἔχει, ὃς μέγα φρονοῦντος πλουσίου ἀνδρὸς ἐπὶ τοῖς
χρήμασιν οὐ πρότερον αὐτὸν θαυμάσειν ἔφη, πρὶν ἂν
καὶ ὅτι κεχρῆσθαι τούτοις ἐπίσταται πειραθῆναι. ἢ
Φειδίας μὲν καὶ Πολύκλειτος, εἰ τῷ χρυσίῳ μέγα
ἐφρόνουν καὶ τῷ ἐλέφαντι, ὧν ὁ μὲν Ἠλείοις τὸν Δία,
ὁ δὲ τὴν Ἥραν Ἀργείοις ἐποιησάτην, καταγελάστω ἂν